quattuor rectis minores. multo igitur magis $\Lambda\Xi M + M\Xi N + N\Xi\Lambda$ quattuor rectis minores sunt. sed iidem quattuor rectis aequales sunt; quod absurdum est. itaque AB recta $\Lambda\Xi$ minor non est. et demonstratum est, eam ne aequalem quidem esse. ergo $AB > \Lambda\Xi$. erigatur igitur in puncto Ξ ad planum circuli ΛMN perpendicularis ΞP [prop. XII]. et sit $\Xi P^2 = AB^2 \div \Lambda\Xi^2$, et ducantur $P\Lambda$, PM, PN. et quoniam $P\Xi$ ad planum circuli ΛMN perpendicularis est, $P\Xi$ ad singulas rectas $\Lambda\Xi$, $M\Xi$, $N\Xi$ perpendicularis est. et quoniam $\Lambda\Xi = \Xi M$, et ΞP communis est et perpendicularis, erit

$$P\Lambda = PM \text{ [I, 4].}$$

eadem de causa erit etiam $PN = P\Lambda = PM$. itaque $P\Lambda$, PM, PN inter se aequales sunt. et quoniam suppositum est, esse $\Xi P^2 = AB^2 \div \Lambda\Xi^2$, erit $AB^2 = \Lambda\Xi^2 + \Xi P^2$. uerum

---

P. 10. $M\Xi N$] ΞN in ras. m. 1 P. 11. *εἰσιν ἐλάσσονες* P. *ἐστίν*] om. V. 12. *ἐστίν* P. 13. *ἄρα*] *ἐστὶν ἄρα* F. *ἀνεστάτω*] bis b; litt. *ν* in ras. m. 1 P. 14. *κύκλου*] om. φ. 15. *ἐστιν* P. 16. *τό*] corr. ex *τῷ* m. 2 F. 17. PN] supra scr. V. 18. $P\Xi$] ΞP B. *ἐστιν* P. *ἐπίπεδον κύκλου* F. 20. ΞM] $M\Xi$ corr. ex $N\Xi$ m. 1 b. 22. PN] N e corr. V. 23. *ἴση ἐστίν* V. 24. εἰσί b, corr. ex *εἰσίν* V, *comp.* F. 26. τό] (prius) corr. ex τῷ F.

ἐστὶ τοῖς ἀπὸ τῶν ΛΞ, ΞΡ. τοῖς δὲ ἀπὸ τῶν ΛΞ, ΞΡ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΛΡ· ὀρθὴ γὰρ ἡ ὑπὸ ΛΞΡ· τὸ ἄρα ἀπὸ τῆς ΑΒ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΡΛ· ἴση ἄρα ἡ ΑΒ τῇ ΡΛ. ἀλλὰ τῇ μὲν ΑΒ ἴση ἐστὶν ἑκάστη τῶν ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ, τῇ δὲ ΡΛ ἴση ἑκατέρα τῶν ΡΜ, ΡΝ· ἑκάστη ἄρα τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ ἑκάστῃ τῶν ΡΛ, ΡΜ, ΡΝ ἴση ἐστίν. καὶ ἐπεὶ δύο αἱ ΛΡ, ΡΜ δυσὶ ταῖς ΑΒ, ΒΓ ἴσαι εἰσίν, καὶ βάσις ἡ ΛΜ βάσει τῇ ΑΓ ὑπόκειται ἴση, γωνία ἄρα ἡ ὑπὸ ΛΡΜ γωνίᾳ τῇ ὑπὸ ΑΒΓ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ μὲν ὑπὸ ΜΡΝ τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση, ἡ δὲ ὑπὸ ΛΡΝ τῇ ὑπὸ ΗΘΚ.

Ἐκ τριῶν ἄρα γωνιῶν ἐπιπέδων τῶν ὑπὸ ΛΡΜ, ΜΡΝ, ΛΡΝ, αἵ εἰσιν ἴσαι τρισὶ ταῖς δοθείσαις ταῖς ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, στερεὰ γωνία συνέσταται ἡ πρὸς τῷ Ρ περιεχομένη ὑπὸ τῶν ΛΡΜ, ΜΡΝ, ΛΡΝ γωνιῶν· ὅπερ ἔδει ποιῆσαι.

Λῆμμα.

Ὃν δὲ τρόπον, ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ, ἐκείνῳ ἴσον λαβεῖν ἔστι τὸ ἀπὸ τῆς ΞΡ, δείξομεν οὕτως. ἐκκείσθωσαν αἱ ΑΒ, ΛΞ εὐθεῖαι,

---

1. τοῖς δέ — 2. ΛΡ] mg. m. 1 F. 3. ΡΛ] e corr. V. 4. ΡΛ] corr. ex ΛΡ V. 5. ΘΚ] corr. ex ΗΚ m. 1 B. Ante ΡΛ del. Λ m. 1 P. 6. Post ΡΝ ras. 3 litt. V. 7. ἐστίν] om. V. 8. ΛΡ] ΡΛ F. εἰσί Vb, comp. F. 9. Ante γωνία ins. καί m. 2 V. 10. γωνίᾳ] om. B; post ins. F. 11. ΜΝΡ F. ἴση ἐστίν FV. 14. τρισίν B. 15. συνίσταται FVb. 16. ἡ] om. φ. τῷ] mut. in τό b, τό φ. τῶν] τῶν ὑπό b. 17. ὅπερ ἔδει ποιῆσαι] om. V. ποιῆσαι] δεῖξαι Pb, γρ. ποιῆσαι mg. b. Seq. duo casus singulares cum demonstrationibus, u. app. Hoc lemma in b et in textu (b) et in mg. a m. 1 (β) reperitur, add. γρ.

$$\Lambda P^2 = \Lambda \Xi^2 + \Xi P^2 \text{ [I, 47]};$$

nam $\angle \Lambda \Xi P$ rectus est. quare $\Lambda B^2 = P\Lambda^2$. itaque $\Lambda B = P\Lambda$. sed

$$\Lambda B = B\Gamma = \Delta E = EZ = H\Theta = \Theta K \quad \text{et}$$
$$P\Lambda = PM = PN.$$

itaque

$$\Lambda B = B\Gamma = \Delta E = EZ = H\Theta = \Theta K = P\Lambda = PM = PN.$$

et quoniam duae rectae ΛP, PM duabus rectis ΛB, $B\Gamma$ aequales sunt, et suppositum est, esse $\Lambda M = \Lambda \Gamma$, erit etiam $\angle \Lambda PM = \Lambda B\Gamma$ [I, 8]. eadem de causa erit etiam $\angle MPN = \Delta EZ$, $\angle \Lambda PN = H\Theta K$.

Ergo ex tribus angulis planis ΛPM, MPN, ΛPN, qui tribus datis angulis $\Lambda B\Gamma$, ΔEZ, $H\Theta K$ aequales sunt, solidus angulus constructus est, qui ad P positus est angulis ΛPM, MPN, ΛPN comprehensus; quod oportebat fieri.[1])

Corollarium.

Quomodo autem fieri possit, ut sumatur $\Xi P^2 = \Lambda B^2 \div \Lambda \Xi^2$, sic demonstrabimus.

exponantur rectae ΛB, $\Lambda \Xi$, et maior sit ΛB, et

1) Quae in codd. sequuntur demonstrationes casuum singularium, ab Euclide profectae esse non possunt. nam praeparatio p. 62, 14 (u. adn. crit.) omnino necessaria, si tres casus separantur, manifesto interpolata est, neque post clausulam legitimam p. 68, 13—17 plura addi possunt. praeterea demonstrationes ipsae uerbosiores sunt neque apud Campanum inueniuntur, neque consuetudo fert Euclidis, ut ad omnes casus respiciatur.

οὕτως. 18. λῆμμα] om. codd. 20. τό] om. F; add. m. 2, sed euan. 21. δείξωμεν P.

καὶ ἔστω μείζων ἡ *ΑΒ*, καὶ γεγράφθω ἐπ' αὐτῆς ἡμικύκλιον τὸ *ΑΒΓ*, καὶ εἰς τὸ *ΑΒΓ* ἡμικύκλιον ἐνηρμόσθω τῇ *ΔΞ* εὐθείᾳ μὴ μείζονι οὔσῃ τῆς *ΑΒ* διαμέτρου ἴση ἡ *ΑΓ*, καὶ ἐπεζεύχθω ἡ *ΓΒ*. ἐπεὶ οὖν ἐν ἡμικυκλίῳ τῷ *ΑΓΒ* γωνία ἐστὶν ἡ ὑπὸ *ΑΓΒ*, ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ *ΑΓΒ*. τὸ ἄρα ἀπὸ τῆς *ΑΒ* ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν *ΑΓ*, *ΓΒ*. ὥστε τὸ ἀπὸ τῆς *ΑΒ* τοῦ ἀπὸ τῆς *ΑΓ* μεῖζόν ἐστι τῷ ἀπὸ τῆς *ΓΒ*. ἴση δὲ ἡ *ΑΓ* τῇ *ΔΞ*. τὸ ἄρα ἀπὸ τῆς *ΑΒ* τοῦ ἀπὸ τῆς *ΔΞ* μεῖζόν ἐστι τῷ ἀπὸ τῆς *ΓΒ*. ἐὰν οὖν τῇ *ΒΓ* ἴσην τὴν *ΞΡ* ἀπολάβωμεν, ἔσται τὸ ἀπὸ τῆς *ΑΒ* τοῦ ἀπὸ τῆς *ΔΞ* μεῖζον τῷ ἀπὸ τῆς *ΞΡ*· ὅπερ προέκειτο ποιῆσαι.

κδ'.

Ἐὰν στερεὸν ὑπὸ παραλλήλων ἐπιπέδων περιέχηται, τὰ ἀπεναντίον αὐτοῦ ἐπίπεδα ἴσα τε καὶ παραλληλόγραμμά ἐστιν.


Στερεὸν γὰρ τὸ *ΓΔΘΗ* ὑπὸ παραλλήλων ἐπιπέδων περιεχέσθω τῶν *ΑΓ*, *ΗΖ*, *ΑΘ*, *ΔΖ*, *ΒΖ*, *ΑΕ*· λέγω, ὅτι τὰ ἀπεναντίον αὐτοῦ ἐπίπεδα ἴσα τε καὶ παραλληλόγραμμά ἐστιν.

Ἐπεὶ γὰρ δύο ἐπίπεδα παράλληλα τὰ *ΒΗ*, *ΓΕ* ὑπὸ ἐπιπέδου τοῦ *ΑΓ* τέμνεται, αἱ κοιναὶ αὐτῶν το-

2. *ΑΓΒ* b. εἰς — ἡμικύκλιον] om. b. *ΑΒΓ*] *ΑΒ* P. ἡμικύκλιον] ⊙ β. ἡρμόσθω β. 3. μὴ μείζονι — διαμέτρου] om. Bb. *ΑΒ*] m. 2 P. 5. τῷ] corr. ex τό m. 1 F. τῷ *ΑΓΒ* γωνία] om. b. *ΑΓΒ*] *Β* ins. m. 1 P, *Β* in ras. F. ὑπό] om. b. ὀρθή — 6. *ΑΓΒ*] γωνία ὀρθή ἐστιν b. 7. τῶν] τῆς b. *ΓΒ*] supra scr. m. rec. P. ὥστε] om. b. *ΑΒ*] *ΑΒ* ἄρα b. 8. μεῖζόν ἐστι] ὑπερέχει P. 9. τῇ] postea ins. V. τὸ ἄρα] ὥστε τό P; τό b. *ΑΒ*] *ΑΒ* ἄρα b, *ΑΒ* μεῖζόν ἐστι P. 10. μεῖζόν ἐστι] om. P. τῆς] m. 2 F. ἐάν — 13. ποιῆσαι] om. b. 10. *ΒΓ*] corr. ex

in ea semicirculus describatur $AB\Gamma$, et in semicirculo $AB\Gamma$ recta $A\Gamma$ aptetur [IV, 1] rectae $\varDelta\Xi$ aequalis, quae maior non est diametro AB, et ducatur ΓB.

iam quoniam in semicirculo $AB\Gamma$ positus est $\angle A\Gamma B$, rectus erit $\angle A\Gamma B$ [III, 31]. itaque $AB^2 = A\Gamma^2 + \Gamma B^2$ [I, 47]. quare erit $AB^2 \div A\Gamma^2 = \Gamma B^2$. uerum $A\Gamma = \varDelta\Xi$. itaque $\Gamma B^2 = AB^2 \div \varDelta\Xi^2$. ergo si sumpserimus $\Xi P = B\Gamma$, erit $\Xi P^2 = AB^2 \div \varDelta\Xi^2$; quod oportebat fieri.



XXIV.

Si solidum planis parallelis comprehenditur, plana eius inter se opposita aequalia sunt et parallelogramma.[1])

Nam solidum $\Gamma\varDelta\Theta H$ planis parallelis comprehendatur $A\Gamma$, HZ, $A\Theta$, $\varDelta Z$, BZ, AE. dico, plana eius inter se opposita aequalia esse et parallelogramma.

nam quoniam duo plana parallela BH, ΓE plano $A\Gamma$ secantur, communes eorum sectiones inter se

1) Haec propositio parum diligenter exposita est; intelligitur enim solidum sex planis parallelis comprehensum neque pluribus, et plana, quamquam omnia parallelogramma sunt, non omnia aequalia sunt, sed opposita sola inter se aequalia.

ΓΒ V, ΓΒ BFβ. 11. τό] τῷ β. ΑΒ μεῖζον P. 12. μεῖζον] om. P. PΞ P. ὅπερ — 13. ποιῆσαι] om. V. 14. κδ'] corr. ex κη' F. 17. παραλληλόγραμμα] παράλληλα b, mg. m. 1 γρ. παραλληλόγραμμα (comp.). -γραμμά ἐστι φ, m. 2 add. V. ἐστι Bb. 18. ΓΔΘΗ] corr. ex ΓΔΗΘ V, ΓΔΗΘ b. 19. ΖΒ BF. 21. παράλληλά b et seq. ras. F. -γραμμά ἐστιν supra m. 2 V. 22. Post ἐπίπεδα ins. ὅμοια m. 2 F. παράλληλα] supra ras. m. 2 V. 23. τέμνονται V.

καὶ παράλληλοί εἰσιν. παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΔΓ. πάλιν, ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ ΒΖ, ΑΕ ὑπὸ ἐπιπέδου τοῦ ΑΓ τέμνεται, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσιν. παράλληλος ἄρα ἐστὶν ἡ ΒΓ τῇ ΑΔ. ἐδείχθη δὲ καὶ ἡ ΑΒ τῇ ΔΓ παράλληλος· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΑΓ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἕκαστον τῶν ΔΖ, ΖΗ, ΗΒ, ΒΖ, ΑΕ παραλληλόγραμμόν ἐστιν.


Ἐπεζεύχθωσαν αἱ ΑΘ, ΔΖ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ μὲν ΑΒ τῇ ΔΓ, ἡ δὲ ΒΘ τῇ ΓΖ, δύο δὴ αἱ ΑΒ, ΒΘ ἁπτόμεναι ἀλλήλων παρὰ δύο εὐθείας τὰς ΔΓ, ΓΖ ἁπτομένας ἀλλήλων εἰσὶν οὐκ ἐν τῷ αὐτῷ ἐπιπέδῳ· ἴσας ἄρα γωνίας περιέξουσιν· ἴση ἄρα ἡ ὑπὸ ΑΒΘ γωνία τῇ ὑπὸ ΔΓΖ. καὶ ἐπεὶ δύο αἱ ΑΒ, ΒΘ δυσὶ ταῖς ΔΓ, ΓΖ ἴσαι εἰσίν, καὶ γωνία ἡ ὑπὸ ΑΒΘ γωνίᾳ τῇ ὑπὸ ΔΓΖ ἐστιν ἴση, βάσις ἄρα ἡ ΑΘ βάσει τῇ ΔΖ ἐστιν ἴση, καὶ τὸ ΑΒΘ τρίγωνον τῷ ΔΓΖ τριγώνῳ ἴσον ἐστίν. καί ἐστι τοῦ μὲν ΑΒΘ διπλάσιον τὸ ΒΗ παραλληλόγραμμον, τοῦ δὲ ΔΓΖ διπλάσιον τὸ ΓΕ παραλληλόγραμμον· ἴσον ἄρα τὸ ΒΗ παραλληλόγραμμον τῷ ΓΕ παραλληλογράμμῳ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τὸ μὲν ΑΓ τῷ ΗΖ ἐστιν ἴσον, τὸ δὲ ΑΕ τῷ ΒΖ.

Ἐὰν ἄρα στερεὸν ὑπὸ παραλλήλων ἐπιπέδων περιέχηται, τὰ ἀπεναντίον αὐτοῦ ἐπίπεδα ἴσα τε καὶ παραλληλόγραμμά ἐστιν· ὅπερ ἔδει δεῖξαι.

---

1. εἰσί Vb, comp. F. 2. ΓΔ B. παράλληλα] om. V. ΒΖ] supra scr. Γ b; corr. ex ΒΓ V. 3. τέμνεται] corr. ex τέμνονται b. 4. εἰσι Vb, comp. F. ΒΓ] corr. ex ΑΓ b; Β in ras. B. 9. ἐστι παράλληλος Vb. 10. ΔΓ] corr. ex ΓΔ V, ΓΔ b. 13. περιέχουσιν BF (in F corr. m. 2). 15. εἰσί Vb,

parallelae sunt [prop. XVI]. itaque AB rectae $\Delta\Gamma$ parallela est. rursus quoniam duo plana parallela BZ, AE plano $A\Gamma$ secantur, communes eorum sectiones parallelae sunt. itaque $B\Gamma$ rectae $A\Delta$ parallela est. sed demonstratum est, esse etiam AB rectae $\Delta\Gamma$ parallelam. itaque $A\Gamma$ parallelogrammum est. similiter demonstrabimus, etiam singula ΔZ, ZH, HB, BZ, AE parallelogramma esse.



ducantur $A\Theta$, ΔZ. et quoniam AB rectae $\Delta\Gamma$, $B\Theta$ rectae ΓZ parallelae sunt, duae rectae AB, $B\Theta$ inter se tangentes duabus rectis $\Delta\Gamma$, ΓZ inter se tangentibus parallelae sunt non in eodem plano positae. aequales igitur comprehendent angulos [prop. XV]. itaque $\angle AB\Theta = \Delta\Gamma Z$. et quoniam duae rectae AB, $B\Theta$ duabus $\Delta\Gamma, \Gamma Z$ aequales sunt [I, 34], et $\angle AB\Theta = \Delta\Gamma Z$, erit etiam $A\Theta = \Delta Z$, et $\triangle AB\Theta = \Delta\Gamma Z$ [I, 4]. et $BH = 2 AB\Theta$, $\Gamma E = 2 \Delta\Gamma Z$ [I, 34]. itaque $BH = \Gamma E$. similiter demonstrabimus, esse etiam $A\Gamma = HZ$, $AE = BZ$.

Ergo si solidum planis parallelis comprehenditur, plana eius inter se opposita aequalia sunt et parallelogramma; quod erat demonstrandum.

---

comp. F. 17. ἴση ἐστί BVb. 18. ἴσον ἐστίν· καί ἐστι] om. F, hab. φ. ἐστίν] ἐστί PBV, comp. b. 20. BH] φ seq. lac. 4 litt. 21. τῷ ΓE παραλληλογράμμῳ] om. F. 22. HZ] mut. in $H\Xi$ b. 24. ἐπιπέδων — 26. δεῖξαι] καὶ τὰ ἑξῆς V. 26. παραλληλόγραμμα] παράλληλα b, corr. mg. m. 1.

κε'.

Ἐὰν στερεὸν παραλληλεπίπεδον ἐπιπέδῳ τμηθῇ παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις, ἔσται ὡς ἡ βάσις πρὸς τὴν βάσιν, οὕτως τὸ στερεὸν πρὸς τὸ στερεόν.

Στερεὸν γὰρ παραλληλεπίπεδον τὸ ΑΒΓΔ ἐπιπέδῳ τῷ ΖΗ τετμήσθω παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις τοῖς ΡΑ, ΔΘ· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΑΕΖΦ βάσις πρὸς τὴν ΕΘΓΖ βάσιν, οὕτως τὸ ΑΒΖΥ στερεὸν πρὸς τὸ ΕΗΓΔ στερεόν.

Ἐκβεβλήσθω γὰρ ἡ ΑΘ ἐφ' ἑκάτερα τὰ μέρη, καὶ κείσθωσαν τῇ μὲν ΑΕ ἴσαι ὁσαιδηποτοῦν αἱ ΑΚ, ΚΛ, τῇ δὲ ΕΘ ἴσαι ὁσαιδηποτοῦν αἱ ΘΜ, ΜΝ, καὶ συμπεπληρώσθω τὰ ΛΟ, ΚΦ, ΘΧ, ΜΣ παραλληλόγραμμα καὶ τὰ ΛΠ, ΚΡ, ΔΜ, ΜΤ στερεά. καὶ ἐπεὶ ἴσαι εἰσὶν αἱ ΛΚ, ΚΑ, ΑΕ εὐθεῖαι ἀλλήλαις, ἴσα ἐστὶ καὶ τὰ μὲν ΛΟ, ΚΦ, ΑΖ παραλληλόγραμμα ἀλλήλοις, τὰ δὲ ΚΞ, ΚΒ, ΑΗ ἀλλήλοις καὶ ἔτι τὰ ΛΨ, ΚΠ, ΑΡ ἀλλήλοις· ἀπεναντίον γάρ. διὰ τὰ αὐτὰ δὴ καὶ τὰ μὲν ΕΓ, ΘΧ, ΜΣ παραλληλόγραμμα ἴσα εἰσὶν ἀλλήλοις, τὰ δὲ ΘΗ, ΘΙ, ΙΝ ἴσα εἰσὶν ἀλλήλοις, καὶ ἔτι τὰ ΔΘ, ΜΩ, ΝΤ· τρία ἄρα ἐπίπεδα τῶν ΛΠ, ΚΡ, ΑΥ στερεῶν τρισὶν ἐπιπέδοις ἐστὶν ἴσα. ἀλλὰ τὰ τρία τρισὶ τοῖς ἀπεναντίον ἐστὶν ἴσα·

---

1. κε'] κθ' F. 2. παράλληλον ἐπίπεδον Fb. 4. οὕτω B. 6. παράλληλον ἐπίπεδον Fb. τῷ b. 10. ΑΒΖΥ] Ζ in ras. m. 1 B. 14. ΛΟ] in ras. F; corr. ex ΛΘ m. 1 b. 15. ΛΠ] Λ corr. ex Δ b. ΔΜ] Μ'' Δ' b. ΜΤ] ΝΤ P, ΜΓ b. 19. ΑΡ] Α e corr. b. 21. τὰ δέ — ἀλλήλοις] mg. m. 2 euan. F. ΘΙ] ΘΡ e corr. b. ΙΝ] 'Ι''Ν, Ι corr. ex Ρ b. 23. ἐστίν] εἰσίν P. 24. τρισίν P. ἐστίν] mut. in εἰσίν b, εἰσίν F.


XXV.

Si solidum parallelepipedum[1]) plano secatur planis inter se oppositis parallelo, erit ut basis ad basim, ita solidum ad solidum.

Nam solidum parallelepipedum $AB\Gamma\Delta$ secetur plano ZH planis PA, $\Delta\Theta$ parallelo. dico, esse

$$AEZ\Phi : E\Theta\Gamma Z = ABZ\Upsilon : EH\Gamma\Delta.$$

producatur enim $A\Theta$ in utramque partem, et ponantur quotlibet rectae AK, $K\Lambda$ rectae AE aequales,



rectae autem $E\Theta$ aequales quotlibet ΘM, MN, et expleantur parallelogramma ΛO, $K\Phi$, ΘX, $M\Sigma$ et solida $\Lambda\Pi$, KP, ΔM, MT. et quoniam $\Lambda K = KA = AE$, erit $\Lambda O = K\Phi = AZ$, $K\Xi = KB = AH$[2]) et praeterea $\Lambda\Psi = K\Pi = AP$; nam inter se opposita sunt [prop. XXIV]. eadem de causa erit etiam $E\Gamma = \Theta X = M\Sigma$, $\Theta H = \Theta I = IN$, $\Delta\Theta = M\Omega = NT$. itaque solidorum $\Lambda\Pi$, KP, $A\Upsilon$ tria plana tribus planis aequalia sunt. uerum tria illa plana tribus,

1) Sicut in primo libro (prop. 34) post propositionem praecedenti correspondentem sine definitione infertur uocabulum παραλληλόγραμμον, ita hic παραλληλεπίπεδον usurpatur, nomen per se perspicuum etiam nulla praemissa definitione.

2) Nam et angulos et latera aequalia habent. ergo etiam similia sunt.

τὰ ἄρα τρία στερεὰ τὰ ΛΠ, ΚΡ, ΑΥ ἴσα ἀλλήλοις ἐστίν. διὰ τὰ αὐτὰ δὴ καὶ τὰ τρία στερεὰ τὰ ΕΔ, ΔΜ, ΜΤ ἴσα ἀλλήλοις ἐστίν· ὁσαπλασίων ἄρα ἐστὶν ἡ ΛΖ. βάσις τῆς ΑΖ βάσεως, τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΛΥ στερεὸν τοῦ ΑΥ στερεοῦ. διὰ τὰ αὐτὰ δὴ ὁσαπλασίων ἐστὶν ἡ ΝΖ βάσις τῆς ΖΘ βάσεως, τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΝΥ στερεὸν τοῦ ΘΥ στερεοῦ. καὶ εἰ ἴση ἐστὶν ἡ ΛΖ βάσις τῇ ΝΖ βάσει, ἴσον ἐστὶ καὶ τὸ ΛΥ στερεὸν τῷ ΝΥ στερεῷ, καὶ εἰ ὑπερέχει ἡ ΛΖ βάσις τῆς ΝΖ βάσεως, ὑπερέχει καὶ τὸ ΛΥ στερεὸν τοῦ ΝΥ στερεοῦ, καὶ εἰ ἐλλείπει, ἐλλείπει. τεσσάρων δὴ ὄντων μεγεθῶν, δύο μὲν βάσεων τῶν ΑΖ, ΖΘ, δύο δὲ στερεῶν τῶν ΑΥ, ΥΘ, εἴληπται ἰσάκις πολλαπλάσια τῆς μὲν ΑΖ βάσεως καὶ τοῦ ΑΥ στερεοῦ ἥ τε ΛΖ βάσις καὶ τὸ ΛΥ στερεόν, τῆς δὲ ΘΖ βάσεως καὶ τοῦ ΘΥ στερεοῦ ἥ τε ΝΖ βάσις καὶ τὸ ΝΥ στερεόν, καὶ δέδεικται, ὅτι εἰ ὑπερέχει ἡ ΛΖ βάσις τῆς ΖΝ βάσεως, ὑπερέχει καὶ τὸ ΛΥ στερεὸν τοῦ ΝΥ [στερεοῦ], καὶ εἰ ἴση, ἴσον, καὶ εἰ ἐλλείπει, ἐλλείπει. ἔστιν ἄρα ὡς ἡ ΑΖ βάσις πρὸς τὴν ΖΘ βάσιν, οὕτως τὸ ΑΥ στερεὸν πρὸς τὸ ΥΘ στερεόν· ὅπερ ἔδει δεῖξαι.

κϛ'.

Πρὸς τῇ δοθείσῃ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῇ δοθείσῃ στερεᾷ γωνίᾳ ἴσην στερεὰν γωνίαν συστήσασθαι.

---

1. ἄρα] ἄ supra m. rec. P; post ras. 2 litt. F. τά] e corr. V. ΛΠ] ΚΗ F; supra Λ scr. Α m. 1 b. 2. ἐστί BV, comp. b, εἰσί F. τά] (alt.) ins. m. 2 F. 3. ἐστίν] mut. in εἰσίν m. 1 P. 4. ΛΖ] ΔΖ supra scr. ΑΒ m. 1 b. τοσαυταπλασίων b et e corr. F. 7. ἐστι] supra m. 1 P.

quae iis opposita sunt, aequalia sunt [prop. XXIV]. ergo $\Lambda\Pi = KP = \Lambda\Upsilon$.[1]) eadem de causa erit $E\Delta = \Delta M = M T$. itaque quoties multiplex est ΛZ basis basis AZ, toties multiplex erit etiam solidum $\Lambda\Upsilon$ solidi $A\Upsilon$. eadem de causa quoties multiplex est basis NZ basis $Z\Theta$, toties multiplex erit etiam solidum $N\Upsilon$ solidi $\Theta\Upsilon$. et si $\Lambda Z = NZ$, erit etiam $\Lambda\Upsilon = N\Upsilon$, sin $\Lambda Z > NZ$, erit etiam $\Lambda\Upsilon > N\Upsilon$, sin autem $\Lambda Z < NZ$, erit $\Lambda\Upsilon < N\Upsilon$. itaque datis quattuor magnitudinibus, duabus basibus AZ, $Z\Theta$ et duobus solidis $A\Upsilon$, $\Upsilon\Theta$ sumpta sunt aeque multiplicia basis AZ et solidi $A\Upsilon$ basis ΛZ et solidum $\Lambda\Upsilon$, basis autem ΘZ et solidi $\Theta\Upsilon$ basis NZ et solidum $N\Upsilon$, et demonstratum est, si $\Lambda Z > ZN$, esse etiam $\Lambda\Upsilon > N\Upsilon$, sin $\Lambda Z = ZN$, esse $\Lambda\Upsilon = N\Upsilon$, sin autem $\Lambda Z < ZN$, esse $\Lambda\Upsilon < N\Upsilon$. erit igitur $AZ : Z\Theta = A\Upsilon : \Upsilon\Theta$ [V def. 5]; quod erat demonstrandum.

XXVI.

Ad datam rectam et punctum eius angulum solidum construere dato angulo solido aequalem.

---

1) Ex def. 10, quia plana ea comprehendentia etiam similia sunt bina simul coniuncta. de trinis u. pag. 75 not. 2. de ceteris ex prop. 24 sequitur, nec opus erat, ut ibi propria demonstratione ostenderetur, quia p. 72, 17 demonstratum est, triangulos congruentes esse (u. I, 4), h. e. ἴσα τε καὶ ὅμοια.

---

8. ἡ ΛZ] bis P, corr. m. 1. 9. ἐστί] supra scr. comp. m. 2 F. $\Lambda\Upsilon$] supra Λ scr. A m. 1 b. 10. NZ] Z in ras. V. 13. τῶν] supra scr. m. 2 B. δέ] corr. ex δή m. 2 V, δή b. τῶν] supra scr. m. 2 B. 15. ΛZ] corr. ex AZ m. 1 et m. 2 b. 16. $\Theta\Upsilon$] $E\Delta$, E in ras. P. 18. ZN] NZ BVb. 19. στερεοῦ] om. BFVb. ἴση] ἴσον PFV et in ras. b. 20. ἡ] supra scr. m. 1 P. 25. -σην e corr. m. rec. V.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ AB, τὸ δὲ πρὸς αὐτῇ δοθὲν σημεῖον τὸ A, ἡ δὲ δοθεῖσα στερεὰ γωνία ἡ πρὸς τῷ Δ περιεχομένη ὑπὸ τῶν ὑπὸ $E\Delta\Gamma$, $E\Delta Z$, $Z\Delta\Gamma$ γωνιῶν ἐπιπέδων· δεῖ δὴ πρὸς τῇ AB εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ A τῇ πρὸς τῷ Δ στερεᾷ γωνίᾳ ἴσην στερεὰν γωνίαν συστήσασθαι.


Εἰλήφθω γὰρ ἐπὶ τῆς ΔZ τυχὸν σημεῖον τὸ Z, καὶ ἤχθω ἀπὸ τοῦ Z ἐπὶ τὸ διὰ τῶν $E\Delta$, $\Delta\Gamma$ ἐπίπεδον κάθετος ἡ ZH, καὶ συμβαλλέτω τῷ ἐπιπέδῳ κατὰ τὸ H, καὶ ἐπεζεύχθω ἡ ΔH, καὶ συνεστάτω πρὸς τῇ AB εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ A τῇ μὲν ὑπὸ $E\Delta\Gamma$ γωνίᾳ ἴση ἡ ὑπὸ $BA\Lambda$, τῇ δὲ ὑπὸ $E\Delta H$ ἴση ἡ ὑπὸ BAK, καὶ κείσθω τῇ ΔH ἴση ἡ AK, καὶ ἀνεστάτω ἀπὸ τοῦ K σημείου τῷ διὰ τῶν $BA\Lambda$ ἐπιπέδῳ πρὸς ὀρθὰς ἡ $K\Theta$, καὶ κείσθω ἴση τῇ HZ ἡ $K\Theta$, καὶ ἐπεζεύχθω ἡ ΘA· λέγω, ὅτι ἡ πρὸς τῷ A στερεὰ γωνία περιεχομένη ὑπὸ τῶν $BA\Lambda$, $BA\Theta$, $\Theta A\Lambda$ γωνιῶν ἴση ἐστὶ τῇ πρὸς τῷ Δ στερεᾷ γωνίᾳ τῇ περιεχομένῃ ὑπὸ τῶν $E\Delta\Gamma$, $E\Delta Z$, $Z\Delta\Gamma$ γωνιῶν.

Ἀπειλήφθωσαν γὰρ ἴσαι αἱ AB, ΔE, καὶ ἐπεζεύχθωσαν αἱ ΘB, KB, ZE, HE. καὶ ἐπεὶ ἡ ZH ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας· ὀρθὴ ἄρα

3. τῷ] mut. in τό m. 1 b. 4. $E\Delta Z$] Z non liquet in F. 5. τῷ Δ] τῇ Δ P. 9. τῷ] om. P. τῷ ἐπιπέδῳ] supra scr. m. 1 F. 12. δέ] om. F. 14. AK] K e corr. m. 1 F. 16. ἡ] (tert.) supra m. 2 P. 18. ἐστίν B, corr. m. 2. Post Δ ras. 1 lit. B. 19. τῇ] om. Vbφ. $Z\Delta\Gamma$] supra scr. m. 2 B. 21. αἱ ἴσαι B, corr. m. 2. 22. KB, ZE, HE] ZE'' HE'' KB' Vb (in HE tertia lineola add. in b); ZE, HE F uel potius φ, in ZE *uestig.* 2 lineolarum.

Sit data recta AB et datum eius punctum A, datus autem angulus solidus is, qui ad Δ positus est angulis planis $E\Delta\Gamma$, $E\Delta Z$, $Z\Delta\Gamma$ comprehensus. oportet igitur ad rectam AB et punctum eius A angulum solidum construere solido angulo, qui ad Δ positus est, aequalem.

sumatur enim in ΔZ punctum aliquod Z, et a Z ad planum rectarum $E\Delta$, $\Delta\Gamma$ perpendicularis ducatur ZH [prop. XI], et cum plano concurrat in H, et du-



catur ΔH, et ad rectam AB et punctum eius A construatur $\angle BA\Lambda = E\Delta\Gamma$, $\angle BAK = E\Delta H$ [I, 23], et ponatur $AK = \Delta H$, et in puncto K ad planum rectarum BA, $A\Lambda$ perpendicularis erigatur $K\Theta$ [prop. XII], et ponatur $K\Theta = HZ$, et ducatur ΘA. dico, angulum solidum, qui ad A positus sit angulis $BA\Lambda$, $BA\Theta$, $\Theta A\Lambda$ comprehensus, aequalem esse angulo solido, qui ad Δ positus sit angulis $E\Delta\Gamma$, $E\Delta Z$, $Z\Delta\Gamma$ comprehensus.

abscindantur enim AB, ΔE inter se aequales, et ducantur ΘB, KB, ZE, HE. et quoniam ZH ad planum subiacens perpendicularis est, etiam ad omnes rectas eam tangentes et in plano subiacenti positas

ἐστὶν ἑκατέρα τῶν ὑπὸ ΖΗΔ, ΖΗΕ γωνιῶν. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ὑπὸ ΘΚΑ, ΘΚΒ γωνιῶν ὀρθή ἐστιν. καὶ ἐπεὶ δύο αἱ ΚΑ, ΑΒ δύο ταῖς ΗΔ, ΔΕ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνίας ἴσας περιέχουσιν, βάσις ἄρα ἡ ΚΒ βάσει τῇ ΗΕ ἴση ἐστίν. ἔστι δὲ καὶ ἡ ΚΘ τῇ ΗΖ ἴση· καὶ γωνίας ὀρθὰς περιέχουσιν· ἴση ἄρα καὶ ἡ ΘΒ τῇ ΖΕ. πάλιν ἐπεὶ δύο αἱ ΑΚ, ΚΘ δυσὶ ταῖς ΔΗ, ΗΖ ἴσαι εἰσίν, καὶ γωνίας ὀρθὰς περιέχουσιν, βάσις ἄρα ἡ ΑΘ βάσει τῇ ΖΔ ἴση ἐστίν. ἔστι δὲ καὶ ἡ ΑΒ τῇ ΔΕ ἴση· δύο δὴ αἱ ΘΑ, ΑΒ δύο ταῖς ΔΖ, ΔΕ ἴσαι εἰσίν. καὶ βάσις ἡ ΘΒ βάσει τῇ ΖΕ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΒΑΘ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ υπὸ ΘΑΛ τῇ ὑπὸ ΖΔΓ ἐστιν ἴση [ἐπειδήπερ ἐὰν ἀπολάβωμεν ἴσας τὰς ΑΛ, ΔΓ καὶ ἐπιζεύξωμεν τὰς ΚΛ, ΘΛ, ΗΓ, ΖΓ, ἐπεὶ ὅλη ἡ ὑπὸ ΒΑΛ ὅλη τῇ ὑπὸ ΕΔΓ ἐστιν ἴση, ὧν ἡ ὑπὸ ΒΑΚ τῇ ὑπὸ ΕΔΗ ὑπόκειται ἴση, λοιπὴ ἄρα ἡ ὑπὸ ΚΑΛ λοιπῇ τῇ ὑπὸ ΗΔΓ ἐστιν ἴση. καὶ ἐπεὶ δύο αἱ ΚΑ, ΑΛ δυσὶ ταῖς ΗΔ, ΔΓ ἴσαι εἰσίν, καὶ γωνίας ἴσας περιέχουσιν, βάσις ἄρα ἡ ΚΛ βάσει τῇ ΗΓ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ΚΘ τῇ ΗΖ ἴση· δύο δὴ αἱ ΛΚ, ΚΘ δυσὶ ταῖς ΓΗ, ΗΖ εἰσιν ἴσαι· καὶ γωνίας ὀρθὰς περιέχουσιν· βάσις ἄρα ἡ ΘΛ βάσει τῇ ΖΓ ἐστιν ἴση. καὶ ἐπεὶ δύο αἱ ΘΑ, ΑΛ δυσὶ ταῖς ΖΔ, ΔΓ εἰσιν ἴσαι, καὶ βάσις ἡ ΘΛ βάσει τῇ ΖΓ ἐστιν ἴση, γωνία ἄρα ἡ ὑπὸ ΘΑΛ γωνίᾳ τῇ ὑπὸ ΖΔΓ ἐστιν ἴση]. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΛ τῇ ὑπὸ ΕΔΓ ἴση.

Πρὸς ἄρα τῇ δοθείσῃ εὐθείᾳ τῇ ΑΒ καὶ τῷ πρὸς

3. *ἐστι* V, comp. Fb. *δύο*] (alt.) *δυσί* Vb. 4. *περιέχουσι* PVb. 5. *ΒΚ* B. *ΗΕ*] Ε·Η¨ F. *ἐστίν*] om. Vb.

rectos angulos efficiet [def. 3]. itaque uterque angulus *ZHΔ*, *ZHE* rectus est. eadem de causa etiam uterque angulus *ΘKA*, *ΘKB* rectus est. et quoniam duae rectae *KA*, *AB* duabus *HΔ*, *ΔE* singulae singulis aequales sunt, et angulos aequales comprehendunt, erit *KB* = *HE* [I, 4]. uerum etiam *KΘ* = *HZ*; et angulos rectos comprehendunt. itaque *ΘB* = *ZE* [id.]. rursus quoniam duae rectae *AK*, *KΘ* duabus *ΔH*, *HZ* aequales sunt, et angulos rectos comprehendunt, erit *AΘ* = *ZΔ* [id.]. uerum etiam *AB* = *ΔE*. itaque duae rectae *ΘA*, *AB* duabus *ΔZ*, *ΔE* aequales sunt; et *ΘB* = *ZE*. itaque ∠ *BAΘ* = *EΔZ* [I, 8]. eadem de causa[1]) erit etiam ∠ *ΘAΛ* = *ZΔΓ*. uerum erat etiam ∠ *BAΛ* = *EΔΓ*.

Ergo[2]) ad datam rectam *AB* et punctum eius *A*

1) Haec uerba (lin. 13 seq.) satis ostendunt, ea quae sequuntur lin. 14—27 genuina esse non posse; huc adcedit, quod totus ille locus perplexiore sententiarum nexu laborat, quam quo utitur Euclides.

2) Simsonus iure uituperauit, quod nusquam demonstratum est, angulos solidos, qui aequalibus angulis planis eodem ordine contineantur, aequales esse. nam hoc quasi axiomate nititur demonstratio Euclidis. saltim ad similitudinem def. 10 definiri debuerunt aequales anguli solidi.

6. *ἔστιν* PB, comp. b. 7. *περιέχουσι* Vbφ. *ἴση*] *βάσις* Vb et φ (non F). *καί*] om. V et φ (non F). *ZE*] *ZE* *ἴση ἐστί* Vb; *γρ. ἴση ἄρα καὶ ἡ ΘB τῇ ZE* mg. m. 1 b. 8. *εἰσί* Vb, comp. F. 9. *περιέχουσι* Vb et φ (non F). 10. *ZΔ*] *ΞΔ* F, *ΔZ* B. *ἔστιν* B. 11. *ΔZ*, *ΔE*] "*ΔZ*' *ZE*, supra alt. Z scr. *Δ* m. 1 b; litt. *ΔZ*, Z eras. V; *ZΔ*, *ΔE* B. *εἰσί* V, comp. Fb. 14. *ΘAΛ*] *ΘΔA*, corr. m. 1 b. *ZΔΓ*] ¨*ΔZ*˙*Γ*⋯ F. 15. *ΔΓ*] *ΛΓ*, sed corr., b. 16. *KΛ*] *ΛK* F. *ΘΛ*] corr. ex *ΘA* Fb. 20. *δυσίν* B. *εἰσίν*] comp. F, *εἰσί* PVb. *περιέχουσιν*] BF, *περιέχουσι* PVbφ. 22. *ἔστιν* FB. *KΘ*] *ΘK* F. *ΛK*] e corr. b. 24. *περιέχουσι* Vb. 25. *ἴσαι εἰσίν* B. 26. *ZΓ*] *ΓZ* F. *γωνία*] *καὶ γωνία* BFVb. 27. *ΘAΛ*] corr. ex *ΘBA* m. 1 b.

αὐτῇ σημείῳ τῷ Α τῇ δοθείσῃ στερεᾷ γωνίᾳ τῇ πρὸς τῷ Δ ἴση συνέσταται· ὅπερ ἔδει ποιῆσαι.

κζ'.

Ἀπὸ τῆς δοθείσης εὐθείας τῷ δοθέντι στερεῷ παραλληλεπιπέδῳ ὅμοιόν τε καὶ ὁμοίως κείμενον στερεὸν παραλληλεπίπεδον ἀναγράψαι.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ δοθὲν στερεον παραλληλεπίπεδον τὸ ΓΔ· δεῖ δὴ ἀπὸ τῆς δοθείσης εὐθείας τῆς ΑΒ τῷ δοθέντι στερεῷ παραλληλεπιπέδῳ τῷ ΓΔ ὅμοιόν τε καὶ ὁμοίως κείμενον στερεὸν παραλληλεπίπεδον ἀναγράψαι.

Συνεστάτω γὰρ πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ πρὸς τῷ Γ στερεᾷ γωνίᾳ ἴση ἡ περιεχομένη ὑπὸ τῶν ΒΑΘ, ΘΑΚ, ΚΑΒ, ὥστε ἴσην εἶναι τὴν μὲν ὑπὸ ΒΑΘ γωνίαν τῇ ὑπὸ ΕΓΖ, τὴν δὲ ὑπὸ ΒΑΚ τῇ υπὸ ΕΓΗ, τὴν δὲ ὑπὸ ΚΑΘ τῇ ὑπὸ ΗΓΖ· καὶ γεγονέτω ὡς μὲν ἡ ΕΓ πρὸς τὴν ΓΗ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΚ, ὡς δὲ ἡ ΗΓ πρὸς τὴν ΓΖ, οὕτως ἡ ΚΑ πρὸς τὴν ΑΘ. καὶ δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ ΕΓ πρὸς τὴν ΓΖ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΘ. καὶ συμπεπληρώσθω τὸ ΘΒ παραλληλόγραμμον καὶ τὸ ΑΛ στερεόν.

Καὶ ἐπεί ἐστιν ὡς ἡ ΕΓ πρὸς τὴν ΓΗ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΚ, καὶ περὶ ἴσας γωνίας τὰς ὑπὸ ΕΓΗ, ΒΑΚ αἱ πλευραὶ ἀνάλογόν εἰσιν, ὅμοιον ἄρα ἐστὶ τὸ ΗΕ παραλληλόγραμμον τῷ ΚΒ παραλληλο-

2. συνίσταται, ι in ras., V; συνεστάτω φ. ποιῆσαι] δεῖξαι, mg. γρ. ποιῆσαι, m. 1 Vb. 3. κζ'] m. rec. F. 5. παραλληλωεπιπ. corr. in παραλληλοεπιπ. b, qui hanc formam lin. 6

dato angulo solido, qui ad Δ positus est, aequalis angulus constructus est; quod oportebat fieri.

XXVII.

In data recta solidum parallelepipedum construere dato solido parallelepipedo simile et similiter positum.

Sit data recta AB et datum solidum parallelepipedum $\Gamma\Delta$. oportet igitur in data recta AB solidum parallelepipedum construere dato solido parallelepipedo $\Gamma\Delta$ simile et similiter positum.

construatur enim ad rectam AB et punctum eius A solido angulo, qui ad Γ positus est, aequalis angulus angulis $BA\Theta$, ΘAK, KAB comprehensus, ita ut sit $\angle BA\Theta = E\Gamma Z$, $BAK = E\Gamma H$, $KA\Theta = H\Gamma Z$ [prop. XXVI]. et fiat

$$E\Gamma : \Gamma H = BA : AK, \quad H\Gamma : \Gamma Z = KA : A\Theta.$$

quare etiam ex aequo erit $E\Gamma : \Gamma Z = BA : A\Theta$ [V, 22]. et expleantur parallelogrammum ΘB et solidum $A\Lambda$.

et quoniam est $E\Gamma : \Gamma H = BA : AK$, et latera aequales angulos $E\Gamma H$, BAK comprehendentia proportionalia sunt[1]), erit $HE \sim KB$. eadem de causa

1) H. e. „et quoniam aequales sunt anguli, quos latera haec proportionalia comprehendunt". de eo, quod inde concluditur, esse $HE \sim KB$, cfr. uol. II p. 153 not. 2.

praebet. 8. εὐθεῖα] postea add. m. 1 P. 14. γωνίᾳ στερεᾷ Vb. 15. τῶν] τῶν ὑπό Vb. 17. τὴν δέ] καὶ ἔτι τήν Theon (BFVb). 18. $H\Gamma Z$] litt. $H\Gamma$ e corr. b. τήν] om. FVb. 19. $H\Gamma$] ΓH Vb. 21. ΓE P. $Z\Gamma$ P. 22. ΘB] Pb et corr. ex $\Theta\Gamma$ m. 1 V; $B\Theta$ B et ut uidetur F ($HE\varphi$). 23. $A\Lambda$] in ras. V, ΛA b. 24. ἡ] (prius) supra m. 1 F. τὴν ΓH] mg. m. 1 V, Γ litt. e corr. b. 26. αἱ] καί comp. b, καί corr. in αἱ V. Ante ἄρα eras. γ m. 1 P. 27. ἐστίν P. KB] litt. B e corr. b. παραλληλογράμμῳ P.

γράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν ΚΘ παραλληλόγραμμον τῷ ΗΖ παραλληλογράμμῳ ὅμοιόν ἐστι καὶ ἔτι τὸ ΖΕ τῷ ΘΒ· τρία ἄρα παραλληλόγραμμα τοῦ ΓΔ στερεοῦ τρισὶ παραλληλογράμμοις τοῦ ΑΛ στερεοῦ ὅμοιά ἐστιν. ἀλλὰ τὰ μὲν τρία τρισὶ τοῖς ἀπεναντίον ἴσα τέ ἐστι καὶ ὅμοια, τὰ δὲ τρία τρισὶ τοῖς ἀπεναντίον ἴσα τέ ἐστι καὶ ὅμοια· ὅλον ἄρα τὸ ΓΔ στερεὸν ὅλῳ τῷ ΑΛ στερεῷ ὅμοιόν ἐστιν.

Ἀπὸ τῆς δοθείσης ἄρα εὐθείας τῆς ΑΒ τῷ δοθέντι στερεῷ παραλληλεπιπέδῳ τῷ ΓΔ ὅμοιόν τε καὶ ὁμοίως κείμενον ἀναγέγραπται τὸ ΑΛ· ὅπερ ἔδει ποιῆσαι.

κη'.

Ἐὰν στερεὸν παραλληλεπίπεδον ἐπιπέδῳ τμηθῇ κατὰ τὰς διαγωνίους τῶν ἀπεναντίον ἐπιπέδων, δίχα τμηθήσεται τὸ στερεὸν ὑπὸ τοῦ ἐπιπέδου.


Στερεὸν γὰρ παραλληλεπίπεδον τὸ ΑΒ ἐπιπέδῳ τῷ ΓΔΕΖ τετμήσθω κατὰ τὰς διαγωνίους τῶν ἀπεναντίον ἐπιπέδων τὰς ΓΖ, ΔΕ· λέγω, ὅτι δίχα τμηθήσεται τὸ ΑΒ στερεὸν ὑπὸ τοῦ ΓΔΕΖ ἐπιπέδου.

Ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ μὲν ΓΗΖ τρίγωνον τῷ ΓΖΒ τριγώνῳ, τὸ δὲ ΑΔΕ τῷ ΔΕΘ, ἔστι δὲ καὶ τὸ μὲν ΓΑ παραλληλόγραμμον τῷ ΕΒ ἴσον· ἀπεναντίον γάρ· τὸ δὲ ΗΕ τῷ ΓΘ, καὶ τὸ πρίσμα ἄρα τὸ περι-

---

1. μέν] mg. m. 1 V. 3. τοῦ] mg. m. 1 V; ante hoc uocab. rep. lin. 2. ὅμοιόν — 3. τοῦ, sed delet. m. 1 V. 4. τρισίν B. 6. τε] om. P. τὰ δέ — 7. ὅμοια] punctis del. b, del. m. 2 B, om. FV. 6. τρισίν P. 9. ἄρα δοθείσης Theon (BFVb). 12. ποιῆσαι] δεῖξαι PFVb; γρ. ποιῆσαι mg. m. 1 b. 13. λβ' F. 16. -μη- in ras. m. 1 P. 21. ὑπὸ τοῦ ΓΔ in ras. m. 1 B. 23. ΓΖ''Β' Vb. ἔστιν P. καί] καὶ ὡς P. 24. ΒΕ F.


erit etiam $K\Theta \sim HZ$ et $ZE \sim \Theta B$. itaque tria parallelogramma solidi $\Gamma\Delta$ tribus parallelogrammis solidi $A\Lambda$ similia sunt. uerum in utroque solido tria parallelogramma tribus, quae iis opposita sunt, aequalia[1]) sunt et similia. itaque $\Gamma\Delta \sim A\Lambda$ [def. 9].



Ergo in data recta AB dato solido parallelepipedo $\Gamma\Delta$ simile et similiter positum constructum est $A\Lambda$; quod oportebat fieri.

XXVIII.

Si solidum parallelepipedum secundum diagonales planorum inter se oppositorum plano secatur, solidum plano in duas partes aequales secabitur.



Nam solidum parallelepipedum AB plano $\Gamma\Delta EZ$ secundum diagonales planorum ΓZ, ΔE inter se oppositorum secetur. dico, solidum AB plano $\Gamma\Delta EZ$ in duas partes aequales secari.

Quoniam enim $\Gamma HZ = \Gamma ZB$ et $A\Delta E = \Delta E\Theta$ [I, 34], et praeterea $\Gamma A = BE$ (nam inter se opposita sunt) et $HE = \Gamma\Theta$ [prop. XXIV], prisma duobus

1) Ex prop. XXIV. cur eadem similia sint, supra dictum est p. 77 not. hoc solo utitur; nam ut adhibeatur def. 9, satis est demonstrare, duo solida omnibus planis similibus contineri.

εχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν ΓΗΖ, ΑΔΕ, τριῶν δὲ παραλληλογράμμων τῶν ΗΕ, ΑΓ, ΓΕ ἴσον ἐστὶ τῷ πρίσματι τῷ περιεχομένῳ ὑπὸ δύο μὲν τριγώνων τῶν ΓΖΒ, ΔΕΘ, τριῶν δὲ παραλληλογράμμων τῶν ΓΘ, ΒΕ, ΓΕ· ὑπὸ γὰρ ἴσων ἐπιπέδων περιέχονται τῷ τε πλήθει καὶ τῷ μεγέθει. ὥστε ὅλον τὸ ΑΒ στερεὸν δίχα τέτμηται ὑπὸ τοῦ ΓΔΕΖ ἐπιπέδου· ὅπερ ἔδει δεῖξαι.

κθ΄.

Τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι ἐπὶ τῶν αὐτῶν εἰσιν εὐθειῶν, ἴσα ἀλλήλοις ἐστίν.

Ἔστω ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΑΒ στερεὰ παραλληλεπίπεδα τὰ ΓΜ, ΓΝ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι αἱ ΑΗ, ΑΖ, ΛΜ, ΛΝ, ΓΔ, ΓΕ, ΒΘ, ΒΚ ἐπὶ τῶν αὐτῶν εὐθειῶν ἔστωσαν τῶν ΖΝ, ΔΚ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΓΜ στερεὸν τῷ ΓΝ στερεῷ.

Ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστιν ἑκάτερον τῶν ΓΘ, ΓΚ, ἴση ἐστὶν ἡ ΓΒ ἑκατέρᾳ τῶν ΔΘ, ΕΚ· ὥστε καὶ ἡ ΔΘ τῇ ΕΚ ἐστιν ἴση. κοινὴ ἀφῃρήσθω ἡ ΕΘ· λοιπὴ ἄρα ἡ ΔΕ λοιπῇ τῇ ΘΚ ἐστιν ἴση. ὥστε καὶ τὸ μὲν ΔΓΕ τρίγωνον τῷ ΘΒΚ τριγώνῳ ἴσον ἐστίν, τὸ δὲ ΔΗ παραλληλόγραμμον τῷ ΘΝ παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΖΗ τρίγωνον τῷ ΜΛΝ τριγώνῳ ἴσον ἐστίν. ἔστι δὲ καὶ

---


7. τέμνεται BF. 9. λγ΄ F. 15. ὑπό] ὑ- e corr. m. 2 b. 16. ΑΗ] e corr. b, ΑΖ BFV. ΑΖ] ΑΗ BF et e corr. V. 20. ΓΒ] ΒΓ F. 23. ΘΒΚ] ΘΒ‴Κ¨ F, ΘΚΒ

triangulis ΓHZ, $A\varDelta E$ et tribus parallelogrammis HE, $A\Gamma$, ΓE comprehensum prismati duobus triangulis ΓZB, $\varDelta E\Theta$ et tribus parallelogrammis $\Gamma\Theta$, BE, ΓE comprehenso aequale est; nam planis et numero et magnitudine aequalibus comprehenduntur [def. 10].[1]) quare totum solidum AB plano $\Gamma\varDelta EZ$ in duas partes aequales sectum est; quod erat demonstrandum.

XXIX.

Solida parallelepipeda in eadem basi collocata et eandem altitudinem habentia, quorum rectae eminentes in iisdem rectis sint, inter se aequalia sunt.

In eadem basi AB solida parallelepipeda ΓM, ΓN



collocata sint eandem altitudinem habentia, quorum rectae eminentes AH, AZ, $\varLambda M$, $\varLambda N$, $\Gamma\varDelta$, ΓE, $B\Theta$, BK in iisdem sint rectis ZN, $\varDelta K$. dico, esse $\Gamma M = \Gamma N$.

Nam quoniam utrumque $\Gamma\Theta$, ΓK parallelogrammum est, erit ΓB utrique $\varDelta\Theta$, EK aequalis [I, 34]. quare etiam $\varDelta\Theta = EK$. auferatur, quae communis est, $E\Theta$. itaque $\varDelta E = \Theta K$. quare etiam

$$\varDelta\Gamma E = \Theta BK \text{ [I, 4] et } \varDelta H = \Theta N \text{ [I, 36].}$$

eadem de causa erit etiam $AZH = M\varLambda N$. ...ue

1) Cum hic nihil ad rem pertineat, quod parallelogra... quae solida comprehendunt, et ipsa solida eadem similis ... parte sola definitionis 10 usus est Euclides.

... corr. V. 24. ἐστί PB, comp. Fb. ἐστίν, τό] ... ...ων V. 25. AZH] AHZ BF.

τὸ μὲν ΓΖ παραλληλόγραμμον τῷ ΒΜ παραλληλογράμμῳ ἴσον, τὸ δὲ ΓΗ τῷ ΒΝ· ἀπεναντίον γάρ· καὶ τὸ πρίσμα ἄρα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν ΑΖΗ, ΔΓΕ, τριῶν δὲ παραλληλογράμμων τῶν ΑΔ, ΔΗ, ΓΗ ἴσον ἐστὶ τῷ πρίσματι τῷ περιεχομένῳ ὑπὸ δύο μὲν τριγώνων τῶν ΜΛΝ, ΘΒΚ, τριῶν δὲ παραλληλογράμμων τῶν ΒΜ, ΘΝ, ΒΝ. κοινὸν προσκείσθω τὸ στερεόν, οὗ βάσις μὲν τὸ ΑΒ παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ ΗΕΘΜ· ὅλον ἄρα τὸ ΓΜ στερεὸν παραλληλεπίπεδον ὅλῳ τῷ ΓΝ στερεῷ παραλληλεπιπέδῳ ἴσον ἐστίν.

Τὰ ἄρα ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι ἐπὶ τῶν αὐτῶν εἰσιν εὐθειῶν, ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

λ'.

Τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι οὐκ εἰσὶν ἐπὶ τῶν αὐτῶν εὐθειῶν, ἴσα ἀλλήλοις ἐστίν.

Ἔστω ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΑΒ στερεὰ παραλληλεπίπεδα τὰ ΓΜ, ΓΝ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι αἱ ΑΖ, ΑΗ, ΛΜ, ΛΝ, ΓΔ, ΓΕ, ΒΘ, ΒΚ μὴ ἔστωσαν ἐπὶ τῶν αὐτῶν εὐθειῶν· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΓΜ στερεὸν τῷ ΓΝ στερεῷ.

Ἐκβεβλήσθωσαν γὰρ αἱ ΝΚ, ΔΘ καὶ συμπιπτέ-

---


2. τό] corr. ex τῷ m. 1 F. 3. μὲν ὑπὸ δύο Vb. 4. ΔΓΕ] ΔΕΓ B. 5. ΓΗ] ΗΓ V, et supra scr. m. 1, corr. in ΓΗ m. 2 b. 6. ΜΛΝ] Ν e corr. V. 7. τῶν] sustulit macula in V, supra est ῶ add. ν m. 2. ΘΝ] ΝΘ BF et e corr. V. 9. τὸ ΗΕΘΜ] mg. (addito γρ.) b; in textu

etiam $\Gamma Z = BM$, $\Gamma H = BN$ [prop. XXIV]; nam inter se opposita sunt. itaque etiam prisma duobus triangulis AZH, $\Delta\Gamma E$ et tribus parallelogrammis $A\Delta$, ΔH, ΓH comprehensum prismati duobus triangulis $M\Lambda N$, ΘBK et tribus parallelogrammis BM, ΘN, BN comprehenso aequale est. commune adiiciatur solidum, cuius basis est AB parallelogrammum, ei autem oppositum $HE\Theta M$. itaque $\Gamma M = \Gamma N$.

Ergo solida parallelepipeda in eadem basi collocata et eandem altitudinem habentia, quorum rectae eminentes in iisdem rectis sint, inter se aequalia sunt; quod erat demonstrandum.

XXX.

Solida parallelepipeda in eadem basi collocata et eandem altitudinem habentia, quorum rectae eminentes in iisdem rectis non sint, inter se aequalia sunt.



In eadem basi AB solida sint parallelepipeda ΓM, ΓN eandem altitudinem habentia, quorum rectae eminentes AZ, AH, ΛM, ΛN, $\Gamma\Delta$, ΓE, $B\Theta$, BK in iisdem rectis non sint. dico, esse $\Gamma M = \Gamma N$.

producantur enim NK, $\Delta\Theta$ et inter se concurrant

8. est. 10. στερε- in ras. m. 1 B. 11. ΓN] N e corr. F. ἐστί V, comp. Fb. 16. λ'] om. φ. 21. ἔστωσαν BFV. παράλληλα ἐπίπεδα F. 22. αἱ] supra scr. m. rec. P. 26. NK] N e corr. m. 2 b.

τωσαν ἀλλήλαις κατὰ τὸ *Ρ*, καὶ ἔτι ἐκβεβλήσθωσαν αἱ *ΖΜ*, *ΗΕ* ἐπὶ τὰ *Ο*, *Π*, καὶ ἐπεζεύχθωσαν αἱ *ΑΞ*, *ΛΟ*, *ΓΠ*, *ΒΡ*. ἴσον δή ἐστι τὸ *ΓΜ* στερεόν, οὗ βάσις μὲν τὶ *ΑΓΒΛ* παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ *ΖΔΘΜ*, τῷ *ΓΟ* στερεῷ, οὗ βάσις μὲν τὸ *ΑΓΒΛ* παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ *ΞΠΡΟ*· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς εἰσι τῆς *ΑΓΒΛ* καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι αἱ *ΑΖ*, *ΑΞ*, *ΛΜ*, *ΛΟ*, *ΓΔ*, *ΓΠ*, *ΒΘ*, *ΒΡ* ἐπὶ τῶν αὐτῶν εἰσιν εὐθειῶν τῶν *ΖΟ*, *ΔΡ*. ἀλλὰ τὶ *ΓΟ* στερεόν, οὗ βάσις μέν ἐστι τὸ *ΑΓΒΛ* παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ *ΞΠΡΟ*, ἴσον ἐστὶ τῷ *ΓΝ* στερεῷ, οὗ βάσις μὲν τὸ *ΑΓΒΛ* παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ *ΗΕΚΝ*· ἐπί τε γὰρ πάλιν τῆς αὐτῆς βάσεώς εἰσι τῆς *ΑΓΒΛ* καὶ ὑπὸ τὸ αὐτο ὕψος, ὧν αἱ ἐφεστῶσαι αἱ *ΑΗ*, *ΑΞ*, *ΓΕ*, *ΓΠ*, *ΛΝ*, *ΛΟ*, *ΒΚ*, *ΒΡ* ἐπὶ τῶν αὐτῶν εἰσιν εὐθειῶν τῶν *ΗΠ*, *ΝΡ*. ὥστε καὶ τὸ *ΓΜ* στερεὸν ἴσον ἐστὶ τῷ *ΓΝ* στερεῷ.

Τὰ ἄρα ἐπὶ τῆς αὐτῆς βάσεως στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι οὐκ εἰσὶν ἐπὶ τῶν αὐτῶν εὐθειῶν, ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

---

3. *ἐστιν* P. 5. *ΖΔΘΜ*] *Δ* e corr. b, *ΖΔΜΘ* F?, sed *ΜΘ* euan.; corr. in mg. Pro *τὸ ΖΔΘΜ* in B est *τὸ ΞΠΡΟ*, sed del. *τὸ ΖΔΘΜ* — 6. *ΞΠΡΟ*] mg. m. rec. B. 5. *ΑΓΒ* B. 6. *τε*] eras. V. 7. *ἐστι* comp. V. *ΑΓΒΛ*] *Λ* e corr., supra scr. *Α* m. 1 b. *καὶ ὑπὸ τὸ αὐτὸ ὕψος*] August; om. P*φ*; *καί* BVb. 8. *ὧν*] om. *φ*; *αὐτῶν* B et corr. ex *αὐτῶν ὧν* m. 2 V; *αὐτῶν ὧν* b. *ΑΖ*] corr. ex *ΑΞ* m. 2 V. 9. *ΓΠ*] *ΥΠ*, sed *Υ* e corr. m. 2 b; *ΓΕ* P, sed corr. m. 2 euan. 10. *μέν*] om. B, supra add. postea m. 1 F. *ἐστι*] om. FVb. 11. *ΑΓΒΛ*] *Γ* in ras. m. 2 B. *ΞΠ″ΟΡ′* V, *ΞΠΡ′ Ο′* b. *12. μέν] om.* P. *μὲν τὸ ΑΓΒΛ*] om. *φ*. 13. *ἐπί*] corr.

in *P*, et praeterea producantur *ZM*, *HE* ad *O*, *Π*, et ducantur *AΞ*, *AO*, *ΓΠ*, *BP*. itaque solidum *ΓM*, cuius basis est parallelogrammum *AΓBΔ*, ei autem oppositum *ZΔΘM*, aequale est solido *ΓO*, cuius basis est parallelogrammum *AΓBΔ*, ei autem oppositum *ΞΠPO*; nam in eadem basi sunt *AΓBΔ* et sub eadem altitudine, et rectae eorum eminentes *AZ*, *AΞ*, *AM*, *AO*, *ΓΔ*, *ΓΠ*, *BΘ*, *BP* in iisdem rectis sunt *ZO*, *ΔP* [prop. XXIX]. sed solidum *ΓO*, cuius basis est parallelogrammum *AΓBΔ*, ei autem oppositum *ΞΠPO*, aequale est solido *ΓN*, cuius basis est parallelogrammum *AΓBΔ*, ei autem oppositum *HEKN*; nam rursus in eadem basi sunt *AΓBΔ* et sub eadem altitudine, et rectae eorum eminentes *AH*, *AΞ*, *ΓE*, *ΓΠ*, *AN*, *AO*, *BK*, *BP* in iisdem rectis sunt *HΠ*, *NP* [id.]. quare erit *ΓM* = *ΓN*.

Ergo solida parallelepipeda in eadem basi collocata et eandem altitudinem habentia, quorum rectae eminentes in iisdem rectis non sint, inter se aequalia sunt; quod erat demonstrandum.

---

ex *ἐπεί* V. 14. *πάλιν*] om. BF. *καὶ ὑπὸ τὸ αὐτὸ ὕψος*] August; om. PF; *καί* BVb. 15. *ὧν*] *αὐτῶν* B et corr. ex *αὐτῶν ὧν* V; *αὐτὸ ὧν* b. 16. *ΓΠ*] e corr. m. 2 V, *Γ″Π′* b. *AN*] *N* e corr. m. 2 V. 19. *τῆς αὐτῆς βάσεως στερεά*] P; *τ. α. β. ὄντα στερεά* in ras. V, *τῆς αὐτῆς βάσεως* b; *ἴσων βάσεων στερεά* BF et mg. Vb m. 1. 20. *αἵ*] *καί* P, supra scr. *αἵ* m. 2. 21. *αὐτῶν*] om. F. *ἐστίν*] *εἰσίν* BF.

λα′.

Τὰ ἐπὶ ἴσων βάσεων ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ἴσα ἀλλήλοις ἐστίν.

Ἔστω ἐπὶ ἴσων βάσεων τῶν ΑΒ, ΓΔ στερεὰ παραλληλεπίπεδα τὰ ΑΕ, ΓΖ ὑπὸ τὸ αὐτὸ ὕψος. λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΕ στερεὸν τῷ ΓΖ στερεῷ.

Ἔστωσαν δὴ πρότερον αἱ ἐφεστηκυῖαι αἱ ΘΚ, ΒΕ, ΑΗ, ΛΜ, ΟΠ, ΔΖ, ΓΞ, ΡΣ πρὸς ὀρθὰς ταῖς ΑΒ, ΓΔ βάσεσιν, καὶ ἐκβεβλήσθω ἐπ᾽ εὐθείας τῇ ΓΡ εὐθεῖα ἡ ΡΤ, καὶ συνεστάτω πρὸς τῇ ΡΤ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Ρ τῇ ὑπὸ ΑΛΒ γωνίᾳ ἴση ἡ ὑπὸ ΤΡΥ, καὶ κείσθω τῇ μὲν ΑΛ ἴση ἡ ΡΤ, τῇ δὲ ΛΒ ἴση ἡ ΡΥ, καὶ συμπεπληρώσθω ἥ τε ΡΧ βάσις καὶ τὸ ΨΥ στερεόν. καὶ ἐπεὶ δύο αἱ ΤΡ, ΡΥ δυσὶ ταῖς ΑΛ, ΛΒ ἴσαι εἰσίν, καὶ γωνίας ἴσας περιέχουσιν, ἴσον ἄρα καὶ ὅμοιον τὸ ΡΧ παραλληλόγραμμον τῷ ΘΛ παραλληλογράμμῳ. καὶ ἐπεὶ πάλιν ἴση μὲν ἡ ΑΛ τῇ ΡΤ, ἡ δὲ ΛΜ τῇ ΡΣ, καὶ γωνίας ὀρθὰς περιέχουσιν, ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ ΡΨ παραλληλόγραμμον τῷ ΑΜ παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΛΕ τῷ ΣΥ ἴσον τέ ἐστι καὶ ὅμοιον· τρία ἄρα παραλληλόγραμμα τοῦ ΑΕ στερεοῦ τρισὶ παραλληλογράμμοις τοῦ ΨΥ στερεοῦ ἴσα τέ ἐστι καὶ ὅμοια. ἀλλὰ τὰ μὲν τρία τρισὶ τοῖς ἀπεναντίον ἴσα

---

1. λα′] om. φ. 5. ΑΒ] Α e corr. b. 7. ΑΕ] Ε e corr. b. 9. ΡΣ] Σ e corr. B. ταῖς] e corr. m. 2 B. ΑΒ] Α e corr. b. 10. βάσεσι Vb Dein add. B: ἡ δὲ ὑπὸ ΑΛΒ τῇ ὑπὸ ΓΡΔ ἄνισος. τῇ] τῆς Fb. 12. ΑΛΒ] Α e corr. m. 2 b. 13. ΑΛ] corr. ex ΗΛ et m. 1 et m. 2 b. 14. ΒΛ F. 16. ΑΛ] ut lin. 13 b. εἰσί BVb, comp. F. 18. ΘΛ] Θ e *corr. b; ΛΘ F,* et V, corr. ex ΘΛ. 19. μὲν ἡ] ἡ μέν B.

XXXI.[1])

Solida parallelepipeda in aequalibus basibus collocata et eandem altitudinem habentia inter se aequalia sunt.

Solida parallelepipeda AE, ΓZ in aequalibus basibus AB, $\Gamma\Delta$ collocata eandem altitudinem habeant. dico, esse $AE = \Gamma Z$.

Iam prius rectae eminentes ΘK, BE, AH, ΛM, $O\Pi$, ΔZ, $\Gamma\Xi$, $P\Sigma$ ad bases AB, $\Gamma\Delta$ perpendiculares sint, et recta ΓP in directum producatur, ut fiat PT, et ad rectam PT et punctum eius P angulo $A\Lambda B$ aequalis construatur $\angle TP\Upsilon$ [I, 23], et ponatur $PT = A\Lambda$, $P\Upsilon = \Lambda B$, et expleantur basis PX et solidum $\Psi\Upsilon$. et quoniam duae rectae TP, $P\Upsilon$ duabus $A\Lambda$, ΛB aequales sunt, et angulos aequales comprehendunt, parallelogrammum PX parallelogrammo $\Theta\Lambda$ et aequale et simile est [VI, 14]. et rursus quoniam $A\Lambda = PT$, $\Lambda M = P\Sigma$, et rectos angulos comprehendunt, parallelogrammum $P\Psi$ parallelogrammo ΛM aequale et simile est [id.]. eadem de causa etiam ΛE parallelogrammo $\Sigma\Upsilon$ et aequale et simile est. itaque tria parallelogramma solidi AE tribus parallelogrammis solidi $\Psi\Upsilon$ et aequalia et similia sunt. uerum in utro-

1) Prior figura huius propositionis ita prorsus descripta est, ut in cod. P inuenitur, in quo in mg. add. m. 1: γϱ. ἐν ἄλλοις ,γ (id quod ad litt. siue compendium ō referendum est), nisi quod solidum AE ibi non satis adcurate descriptum hic emendatum est.


$A\Lambda$] A e corr. b. 21. ΛM] Λ e corr. b. 22. $\Sigma\Upsilon$] Υ in ras. B. 23. τὰ τϱία F. 24. ἐστιν P. 25. μέν] supra scr. F et m. 2 B. ὑπεναντίον F. Ante ἴσα in b τὰ δὲ τϱία τϱισὶ τοῖς ὑπεναντίον (υ corr. in α m. 1) del. m. 2.


τέ ἐστι καὶ ὅμοια, τὰ δὲ τρία τρισὶ τοῖς ἀπεναντίον· ὅλον ἄρα τὸ ΑΕ στερεὸν παραλληλεπίπεδον ὅλῳ τῷ ΨΥ στερεῷ παραλληλεπιπέδῳ ἴσον ἐστίν. διήχθωσαν αἱ ΔΡ, ΧΥ καὶ συμπιπτέτωσαν ἀλλήλαις κατὰ τὸ Ω, καὶ διὰ τοῦ Υ τῇ ΔΩ παράλληλος ἤχθω ἡ ,αΤϡ, καὶ ἐκβεβλήσθω ἡ ΟΔ κατὰ τὸ ,α, καὶ συμπεπληρώσθω τὰ ΩΨ, ΡΙ στερεά. ἴσον δή ἐστι τὸ ΨΩ στερεόν, οὗ βάσις μέν ἐστι τὸ ΡΨ παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ Ωϙ, τῷ ΨΥ στερεῷ, οὗ βάσις μὲν τὸ ΡΨ παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ ΥΦ· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς εἰσι τῆς ΡΨ καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι αἱ ΡΩ, ΡΥ, Τϡ, ΤΧ, Σϛ, Σõ, Ψϙ, ΨΦ ἐπὶ τῶν αὐτῶν εἰσιν εὐθειῶν τῶν ΩΧ, ϛΦ. ἀλλὰ τὸ ΨΥ στερεὸν τῷ ΑΕ ἐστιν ἴσον·

---

1. τὰ δὲ τρία — ἀπεναντίον] om. BFVb. 2. στερεόν] bis P, alterum del. m. 1, sed renou. π. 3. ἐστί PBV, comp. Fb. 4. ΔΡ] e corr. V. 5. ΔΩ] Δ e corr. V. ,αΤϡ] τϡ post ras. 1 litt. FV, τϡ B, eras. ϡ, λτρ b, τϡ mg. m. 2. 6. ,α] corr. ex λ m. 2 b. 9. ωϙ B, eras. ϙ; ωϛ b, corr. m. 2. 10. ΥΦ] e corr. m. 2 b. 11. εἰσι] comp. in ras. V, corr. ex ἐστι b; εἰσιν B. 12. ὧν] PFVb, καὶ αὐτῶν B; γρ. καὶ αὐτῶν καί (comp.) mg. b m. 1. αἱ] (alt.) om. B. Τϡ] ϡ in ras. FV, e corr. m. 2 b. ΤΧ] in ras. V, ras. 4 litt. b. 13. Σϛ] in ras. V, σξ F. Σõ] σο P; σς F, supra scr. ση m. 1; σγ in ras. V et corr. ex εγ B; σγ'' b (γ e corr.). Ψϙ] ϙ e corr. b. 14. τῷ] post ras. 1 litt. b; corr. ex τό m. 1 P.

que solido tria parallelogramma tribus, quae iis opposita sunt, et aequalia et similia sunt [p. 77 not. 1]. itaque totum solidum parallelepipedum AE toti solido parallelepipedo $\Psi\Upsilon$ aequale est [def. 10]. edu-





cantur ΔP, $X\Upsilon$ et inter se concurrant in Ω, et per T rectae $\Delta\Omega$ parallela ducatur $,\alpha T$ϡ, et producatur $O\Delta$ ad $,\alpha$, et expleantur solida $\Omega\Psi$, PI. itaque solidum $\Psi\Omega$, cuius basis est $P\Psi$ parallelogrammum, ei autem oppositum Ωϥ, solido $\Psi\Upsilon$, cuius basis est $P\Psi$ parallelogrammum, ei autem oppositum $\Upsilon\Phi$, aequale est; nam et in eadem basi sunt $P\Psi$ et sub eadem altitudine, et rectae eorum eminentes $P\Omega$, $P\Upsilon$, Tϡ, TX, Σς, Σō, Ψϥ, $\Psi\Phi$ in iisdem rectis sunt ΩX, ςΦ [prop. XXIX].

καὶ τὸ ΨΩ ἄρα στερεὸν τῷ ΑΕ στερεῷ ἐστιν ἴσον. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΡΥΧΤ παραλληλόγραμμον τῷ ΩΤ παραλληλογράμμῳ· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς εἰσι τῆς ΡΤ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΡΤ, ΩΧ· ἀλλὰ τὸ ΡΥΧΤ τῷ ΓΔ ἐστιν ἴσον, ἐπεὶ καὶ τῷ ΑΒ, καὶ τὸ ΩΤ ἄρα παραλληλόγραμμον τῷ ΓΔ ἐστιν ἴσον. ἄλλο δὲ τὸ ΔΤ· ἔστιν ἄρα ὡς ἡ ΓΔ βάσις πρὸς τὴν ΔΤ, οὕτως ἡ ΩΤ πρὸς τὴν ΔΤ. καὶ ἐπεὶ στερεὸν παραλληλεπίπεδον τὸ ΓΙ ἐπιπέδῳ τῷ ΡΖ τέτμηται παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις, ἔστιν ὡς ἡ ΓΔ βάσις πρὸς τὴν ΔΤ βάσιν, οὕτως τὸ ΓΖ στερεὸν πρὸς τὸ ΡΙ στερεόν. διὰ τὰ αὐτὰ δή, ἐπεὶ στερεὸν παραλληλεπίπεδον τὸ ΩΙ ἐπιπέδῳ τῷ ΡΨ τέτμηται παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις, ἔστιν ὡς ἡ ΩΤ βάσις πρὸς τὴν ΤΔ βάσιν, οὕτως τὸ ΩΨ στερεὸν πρὸς τὸ ΡΙ. ἀλλ' ὡς ἡ ΓΔ βάσις πρὸς τὴν ΔΤ, οὕτως ἡ ΩΤ πρὸς τὴν ΔΤ· καὶ ὡς ἄρα τὸ ΓΖ στερεὸν πρὸς τὸ ΡΙ στερεόν, οὕτως τὸ ΩΨ στερεὸν πρὸς τὸ ΡΙ. ἑκάτερον ἄρα τῶν ΓΖ, ΩΨ στερεῶν πρὸς τὸ ΡΙ τὸν αὐτὸν ἔχει λόγον· ἴσον ἄρα ἐστὶ τὸ ΓΖ στερεὸν τῷ ΩΨ στερεῷ. ἀλλὰ τὸ ΩΨ τῷ ΑΕ ἐδείχθη ἴσον· καὶ τὸ ΑΕ ἄρα τῷ ΓΖ ἐστιν ἴσον.


Μὴ ἔστωσαν δὴ αἱ ἐφεστηκυῖαι αἱ ΑΗ, ΘΚ, ΒΕ, ΛΜ, ΓΝ, ΟΠ, ΔΖ, ΡΣ πρὸς ὀρθὰς ταῖς ΑΒ, ΓΔ βάσεσιν· λέγω πάλιν, ὅτι ἴσον τὸ ΑΕ στερεὸν τῷ

2. ΡΥΧΤ] Υ e corr. b. 4. εἰσιν B. ΡΤ] (prius) ΡΓ B — 5. ἴσον ἐστίν BF. 6. ΑΒ] Α e corr. m. 1 b. ΩΤ] Τ corr. m. 2 P. ἄρα] supra scr. m. rec. B. 7. ΓΔ] ΔΓ F ″Δ′Γ Vb. 11. οὕτω PB. 12. τό] (alt.) e corr. F. 13. ΩΙ] Ι add. m. 2 b. 15. ΤΔ] Τ e corr. m. 2 P. 16. οὕτω B. ἀλλ' ὡς — 19. ΡΙ] om. F. 17. ΩΤ βάσις P. ΔΤ] in ras. V

uerum $\Psi\Upsilon = AE$. itaque etiam $\Psi\Omega = AE$. et quoniam $P\Upsilon X T = \Omega T$ (nam et in eadem basi sunt PT et in iisdem parallelis PT, ΩX [I, 35]), sed $P\Upsilon X T = \Gamma\Delta$, quoniam $P\Upsilon X T = AB$, erit etiam $\Omega T = \Gamma\Delta$. aliud autem quoduis est ΔT. itaque $\Gamma\Delta : \Delta T = \Omega T : \Delta T$ [V, 7]. et quoniam solidum parallelepipedum ΓI sectum est plano PZ parallelo planis oppositis, erit $\Gamma\Delta : \Delta T = \Gamma Z : PI$ [prop. XXV]. iam eadem de causa, quoniam solidum parallelepipedum ΩI sectum est plano $P\Psi$ parallelo planis oppositis, erit $\Omega T : T\Delta = \Omega\Psi : PI$ [id.]. sed $\Gamma\Delta : \Delta T = \Omega T : \Delta T$. quare etiam $\Gamma Z : PI = \Omega\Psi : PI$. itaque utrumque solidum ΓZ, $\Omega\Psi$ ad PI eandem rationem habet. quare $\Gamma Z = \Omega\Psi$ [V, 9]. uerum demonstratum est, esse $\Omega\Psi = AE$. quare etiam

$$AE = \Gamma Z.$$

iam rectae eminentes AH, ΘK, BE, ΛM, ΓN,



$O\Pi$, ΔZ, $P\Sigma$ ad bases AB, $\Gamma\Delta$ perpendiculares ne sint. rursus dico, esse $AE = \Gamma Z$. ducantur enim a

---

$T\Delta$ B; " $T'\Delta$ b. 19. PI] I euan. V. Dein add. στερεόν Theon (BFVb). 20. στερεόν B, corr. m. rec. λόγον ἔχει B. 21. ἐστίν P. τό] (alt.) mut. in τῷ b; τῷ BV. 22. $\Omega\Psi$] Ω e corr. b. τῷ] mut. in τό b, τό BV; οὕτως ἐν ἄλλῳ mg. m. 1 Vb. 23. ἴσον ἐστίν Vb. Dein add. ὅπερ ἔδει δεῖξαι PFVb. 25. ΓN] N in ras. V. 26. βάσεσι b et supra scr. m. 2 V. ἴσον ἐστί Theon (BFVb).

ΓΖ στερεῷ. ἤχθωσαν γὰρ ἀπὸ τῶν Κ, Ε, Η, Μ, Π, Ζ, Ν, Σ σημείων ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετοι αἱ ΚΞ, ΕΤ, ΗΥ, ΜΦ, ΠΧ, ΖΨ, ΝΩ, ΣΙ, καὶ συμβαλλέτωσαν τῷ ἐπιπέδῳ κατὰ τὰ Ξ, Τ, Υ, Φ, Χ, Ψ, Ω, Ι σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΞΤ, ΞΥ, ΥΦ, ΤΦ, ΧΨ, ΧΩ, ΩΙ, ΙΨ. ἴσον δή ἐστι τὸ ΚΦ στερεὸν τῷ ΠΙ στερεῷ· ἐπί τε γὰρ ἴσων βάσεών εἰσι τῶν ΚΜ, ΠΣ καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι πρὸς ὀρθάς εἰσι ταῖς βάσεσιν. ἀλλὰ τὸ μὲν ΚΦ στερεὸν τῷ ΑΕ στερεῷ ἐστιν ἴσον, τὸ δὲ ΠΙ τῷ ΓΖ· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς εἰσι καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι οὔκ εἰσιν ἐπὶ τῶν αὐτῶν εὐθειῶν. καὶ τὸ ΑΕ ἄρα στερεὸν τῷ ΓΖ στερεῷ ἐστιν ἴσον.

Τὰ ἄρα ἐπὶ ἴσων βάσεων ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

λβ'.

Τὰ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα στερεὰ παραλληλεπίπεδα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις.

Ἔστω ὑπὸ τὸ αὐτὸ ὕψος στερεὰ παραλληλεπίπεδα τα ΑΒ, ΓΔ· λέγω, ὅτι τὰ ΑΒ, ΓΔ στερεα παραλληλεπίπεδα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις, τουτέστιν ὅτι ἐστὶν ὡς ἡ ΑΕ βάσις πρὸς τὴν ΓΖ βάσιν, οὕτως τὸ ΑΒ στερεὸν πρὸς το ΓΔ στερεόν.

---


2. Π] e corr. b. Ν] in ras. V. 3. ΚΞ] ΚΖ F; Ξ in ras. V. ΠΧ] Π in ras. m. 1 P. ΝΩ] Ν in ras. V. 4. ΣΥ P. συμβαλέτωσαν V. Ξ] in ras. V. Υ, Τ b. 5. σημείωι B, ω in ras. 6. ΞΤ] Ξ in ras. V. ΞΥ] Ξ in ras. V; ΥΦ F. ΥΦ] ΞΥ F. ΙΨ] ΩΨ b. 7. ΚΦ] Φ e corr. V. 8. ΠΣ] corr. ex ΠΕ m. 1 b. ὑπό] ἐπί b; corr. mg. m. 1. 9. εἴσιν B. 11. εἴσιν P. 12. ὑπό] ἐπί b; corr. mg.

punctis K, E, H, M, Π, Z, N, Σ ad planum subiacens perpendiculares $K\Xi$, ET, $H\Upsilon$, $M\Phi$, ΠX, $Z\Psi$, $N\Omega$, ΣI, et cum plano in punctis Ξ, T, Υ, Φ, X, Ψ, Ω, I concurrant, et ducantur ΞT, $\Xi\Upsilon$, $\Upsilon\Phi$, $T\Phi$, $X\Psi$, $X\Omega$, ΩI, $I\Psi$. iam erit $K\Phi = \Pi I$; nam in aequalibus basibus sunt KM, $\Pi\Sigma$ et sub eadem altitudine, et rectae eorum eminentes ad bases perpendiculares sunt [per priorem partem huius prop.]. uerum $K\Phi = AE$, $\Pi I = \Gamma Z$; nam et in eadem basi sunt et sub eadem altitudine, et rectae eorum eminentes in iisdem rectis non sunt [prop. XXX]. itaque etiam $AE = \Gamma Z$.

Ergo solida parallelepipeda in aequalibus basibus collocata et eandem altitudinem habentia inter se aequalia sunt; quod erat demonstrandum.

XXXII.

Solida parallelepipeda, quae eandem habent altitudinem, inter se eandem rationem habent quam bases.



Solida parallelepipeda AB, $\Gamma\Delta$ eandem altitudinem habeant. dico, solida parallelepipeda AB, $\Gamma\Delta$ eandem inter se rationem habere quam bases, hoc est, esse $AE : \Gamma Z = AB : \Gamma\Delta$.

---

1. 1. 13. στερεὸν ἄρα b. 14. ἴσον ἐστίν b. 18. λβ′] m. φ. 19. παραλληλοεπίπεδα, eras. ο, V; item lin. 22. l. παραλληλοεπίπεδα V, ut p. 100, 3, 6. 23. ἐστίν] om. φ. βάσις] *om. FV.* 25. στερεόν] (prius) om. V.

Παραβεβλήσθω γὰρ παρὰ την ΖΗ τῷ ΑΕ ἴσο τὸ ΖΘ, καὶ ἀπὸ βάσεως μὲν τῆς ΖΘ, ὕψους δὲ το αὐτοῦ τῷ ΓΔ στερεὸν παραλληλεπίπεδον συμπεπλ- ρώσθω το ΗΚ. ἴσον δή ἐστι τὸ ΑΒ στερεον τῷ Η στερεῷ· ἐπί τε γαρ ἴσων βάσεών εἰσι τῶν ΑΕ, Ζ καὶ ὑπὸ τὸ αὐτο ὕψος. καὶ ἐπεὶ στερεὸν παραλλη επίπεδον τὸ ΓΚ ἐπιπέδῳ τῷ ΔΗ τέτμηται παραλλήλ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις, ἔστιν ἄρα ὡς ἡ Γ βάσις πρὸς την ΖΘ βάσιν, οὕτως το ΓΔ στερεὸ πρὸς τὸ ΔΘ στερεόν. ἴση δὲ ἡ μὲν ΖΘ βάσις τ ΑΕ βάσει, τὸ δὲ ΗΚ στερεὸν τῷ ΑΒ στερεῷ· ἔστι ἄρα καὶ ὡς ἡ ΑΕ βάσις πρὸς τὴν ΓΖ βάσιν, οὕτω τὸ ΑΒ στερεὸν πρὸς τὸ ΓΔ στερεόν.

Τὰ ἄρα ὑπο τὸ αὐτὸ ὕψος ὄντα στερεὰ παραλληλ επίπεδα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις· ὅπερ ἔδει δεῖξαι.

λγ΄.

Τὰ ὅμοια στερεὰ παραλληλεπίπεδα πρὸς ἄλληλα ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν.

Ἔστω ὅμοια στερεὰ παραλληλεπίπεδα τὰ ΑΒ, ΓΔ ὁμόλογος δὲ ἔστω ἡ ΑΕ τῇ ΓΖ· λέγω, ὅτι το ΑΒ στερεὸν πρὸς τὸ ΓΔ στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΕ πρὸς τὴν ΓΖ.

Ἐκβεβλήσθωσαν γὰρ ἐπ' εὐθείας ταῖς ΑΕ, ΗΕ ΘΕ αἱ ΕΚ, ΕΛ, ΕΜ, καὶ κείσθω τῇ μὲν ΓΖ ἴση ἡ ΕΚ, τῇ δὲ ΖΝ ἴση ἡ ΕΛ, καὶ ἔτι τῇ ΖΡ ἴση ἡ ΕΜ καὶ συμπεπληρώσθω το ΚΛ παραλληλόγραμμον κα το ΚΟ στερεόν.

---

3. τῷ] τό post ins., euan. F; supra scr. V. καὶ συμπ b. 4. ἐστιν P. 5. τε] om. b. εἰσι] ἐστι B, om. FV.

expleantur enim solida $A\Xi$, HO. quoniam $AZ = 2H\Theta K$, et $\Theta K = 2H\Theta K$ [I, 34], erit $AZ = \Theta K$.



solida autem parallelepipeda, quae in aequalibus sunt basibus et eandem altitudinem habent, aequalia sunt [prop. XXXI]. itaque $A\Xi = HO$. et $AB\Gamma\Delta EZ = \frac{1}{2} A\Xi$, $H\Theta K\Lambda MN = \frac{1}{2} HO$ [prop. XXVIII]. itaque $AB\Gamma\Delta EZ = H\Theta K\Lambda MN$.

ἄρα ἐστὶ τὸ $ΑΒΓΔΕΖ$ πρίσμα τῷ $ΗΘΚΛΜΝ$ πρίσματι.


Ἐὰν ἄρα ᾖ δύο πρίσματα ἰσοϋψῆ, καὶ τὸ μὲν ἔχῃ βάσιν παραλληλόγραμμον, τὸ δὲ τρίγωνον, διπλάσιον δὲ ᾖ τὸ παραλληλόγραμμον τοῦ τριγώνου, ἴσα ἐστὶ τὰ πρίσματα· ὅπερ ἔδει δεῖξαι.


---

1. πρίσμα] om. BF. 3. ἔχει φ et P (corr. m. 2). Εὐκλείδου στοιχείων $\overline{ια}$ PF; Εὐκλείδου στερεῶν $\overline{ια}$ B.


Ergo si duorum prismatum eandem altitudinem habentium alterum basim parallelogrammum, alterum triangulum habet, et parallelogrammum duplo maius est triangulo, prismata aequalia sunt; quod erat demonstrandum.[1])


---

1) In PB figura haec est: 



Deinde haec sequitur addito σαφὴς (σαφεστέρα B) καταγραφή





In B in fig. alt. pro *E* est *B*, et *B* in *Δ* mutatum est.

α.

Τὰ ἐν τοῖς κύκλοις ὅμοια πολύγωνα πρὸς ἄλληλά ἐστιν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα.

Ἔστωσαν κύκλοι οἱ *ΑΒΓ*, *ΖΗΘ*, καὶ ἐν αὐτοῖς ὅμοια πολύγωνα ἔστω τὰ *ΑΒΓΔΕ*, *ΖΗΘΚΛ*, διάμετροι δὲ τῶν κύκλων ἔστωσαν αἱ *ΒΜ*, *ΗΝ*· λέγω, ὅτι ἐστὶν ὡς τὸ ἀπὸ τῆς *ΒΜ* τετράγωνον πρὸς τὸ ἀπὸ τῆς *ΗΝ* τετράγωνον, οὕτως τὸ *ΑΒΓΔΕ* πολύγωνον πρὸς τὸ *ΖΗΘΚΛ* πολύγωνον.

Ἐπεζεύχθωσαν γὰρ αἱ *ΒΕ*, *ΑΜ*, *ΗΛ*, *ΖΝ*. καὶ ἐπεὶ ὅμοιον τὸ *ΑΒΓΔΕ* πολύγωνον τῷ *ΖΗΘΚΛ* πολυγώνῳ, ἴση ἐστὶ καὶ ἡ ὑπὸ *ΒΑΕ* γωνία τῇ ὑπὸ *ΗΖΛ*, καί ἐστιν ὡς ἡ *ΒΑ* πρὸς τὴν *ΑΕ*, οὕτως ἡ *ΗΖ* πρὸς τὴν *ΖΛ*. δύο δὴ τρίγωνά ἐστι τὰ *ΒΑΕ*, *ΗΖΛ* μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχοντα τὴν ὑπὸ *ΒΑΕ* τῇ ὑπὸ *ΗΖΛ*, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον· ἰσογώνιον ἄρα ἐστὶ τὸ *ΑΒΕ* τρί-

---

Εὐκλείδου στοιχείων ιβ P; *Εὐκλείδου στοιχείων τῆς Θέωνος ἐκδόσεως ιβ* F; *Εὐκλείδου στερεῶν β στοιχείων ιβ* BV; *Εὐκλείδου ιβ* q. 1. *α'*] om. V. 2. *πολυγώνια* B. 5. Ante *κύκλοι* eras. *ἴσοι* V. *ΑΒΓΔΕ*, *ΖΗΘΚΛ* Theon (BFVq). 6. *πολυγώνια* B. 7. *λέγω*] *ω* e corr. V. 8. *ΒΜ*] *Β* supra scr. V. 9. *πολυγώνιον* B, item lin. 10. 12. *ἐστι τό* BVq. 13. *ἐστὶ καί*] *ἐστίν* q; *ἐστὶν καί* B. *ὑπό*] (alt.) bis F. 14. *ΗΖΛ*]

Liber XII.


I.

Similia polygona in circulis inscripta eam inter se rationem habent quam quadrata diametrorum.

Sint circuli $AB\Gamma$, $ZH\Theta$, et in iis inscripta sint polygona $AB\Gamma\Delta E$, $ZH\Theta K\Lambda$, diametri autem circulorum sint BM, HN. dico, esse

$$BM^2 : HN^2 = AB\Gamma\Delta E : ZH\Theta K\Lambda.$$

ducantur enim BE, AM, $H\Lambda$, ZN. et quoniam $AB\Gamma\Delta E \sim ZH\Theta K\Lambda$, erit $\angle BAE = HZ\Lambda$ et $BA : AE = HZ : Z\Lambda$ [VI def. 1]. itaque duo trianguli



sunt BAE, $HZ\Lambda$ unum angulum uni angulo aequalem habentes, $\angle BAE = HZ\Lambda$, et latera aequales angulos comprehendentia proportionalia. itaque triangulus ABE

---

in ras. m. 1 P; HZ in ras. m. 2 B. τήν] τῇ F. 16. $HZ\Lambda$] H¨Z·Λ F (*puncta post add.*); ZHΛ V, HΛZ Bq. τήν] τίν V.

γωνον τῷ ΖΗΔ τριγώνῳ. ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΑΕΒ γωνία τῇ ὑπὸ ΖΔΗ. ἀλλ' ἡ μὲν ὑπὸ ΑΕΒ τῇ ὑπὸ ΑΜΒ ἐστιν ἴση· ἐπὶ γὰρ τῆς αὐτῆς περιφερείας βεβήκασιν· ἡ δὲ ὑπὸ ΖΔΗ τῇ ὑπὸ ΖΝΗ· καὶ ἡ ὑπὸ ΑΜΒ ἄρα τῇ ὑπὸ ΖΝΗ ἐστιν ἴση. ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΒΑΜ ὀρθῇ τῇ ὑπὸ ΗΖΝ ἴση· καὶ ἡ λοιπὴ ἄρα τῇ λοιπῇ ἐστιν ἴση. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΜ τρίγωνον τῷ ΖΗΝ τριγώνῳ. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΒΜ πρὸς τὴν ΗΝ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΗΖ· ἀλλὰ τοῦ μὲν τῆς ΒΜ πρὸς τὴν ΗΝ λόγου διπλασίων ἐστὶν ὁ τοῦ ἀπὸ τῆς ΒΜ τετραγώνου πρὸς τὸ ἀπὸ τῆς ΗΝ τετράγωνον, τοῦ δὲ τῆς ΒΑ πρὸς τὴν ΗΖ διπλασίων ἐστὶν ὁ τοῦ ΑΒΓΔΕ πολυγώνου πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΒΜ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΗΝ τετράγωνον, οὕτως τὸ ΑΒΓΔΕ πολύγωνον πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον.

Τὰ ἄρα ἐν τοῖς κύκλοις ὅμοια πολύγωνα πρὸς ἄλληλά ἐστιν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα· ὅπερ ἔδει δεῖξαι.

β'.

Οἱ κύκλοι πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα.

Ἔστωσαν κύκλοι οἱ ΑΒΓΔ, ΕΖΗΘ, διάμετροι δὲ αὐτῶν [ἔστωσαν] αἱ ΒΔ, ΖΘ· λέγω, ὅτι ἐστὶν ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως τὸ

---

1. ΖΗΔ] corr. ex ΖΔΗ V, ΖΔΗ B, ΗΖΔ φ. 2. ΖΔΗ] ΖΗ¨Δ˙ F. 3. Supra περιφερείας m. rec. add. τῆς ΒΑ P. 4. δέ] δ' P. 5. ὑπό] bis V. ἔστιν B. 6. ἡ] ἡ γωνία ἡ F. ΑΒΜ F. ἴση] om. B. ἡ] om. q. 7. ΑΜΒ B. 9. ΗΖ] Η in ras. m. 1 P. 10. ΜΒ V. 12. δέ] δὲ ἀπό F, et del. ἀπό V. 24. ἔστωσαν] mg. postea add. m. 1 P.

triangulo $ZH\Delta$ aequiangulus est [VI, 6]. quare $\angle AEB = Z\Delta H$. sed $\angle AEB = AMB$ (nam in eodem arcu positi sunt) [III, 27], et $\angle Z\Delta H = ZNH$. quare etiam $\angle AMB = ZNH$. uerum etiam

$$\angle BAM = HZN;\ \text{nam uterque rectus est [III, 31].}$$

itaque etiam reliquus reliquo aequalis est. triangulus igitur ABM triangulo ZHN aequiangulus est. quare $BM : HN = BA : HZ$ [VI, 4]. uerum $BM^2 : HN^2$ ratio duplicata est quam $BM : HN$, et

$$AB\Gamma\Delta E : ZH\Theta K\Lambda = BA^2 : HZ^2 \text{ [VI, 20].}$$

itaque etiam

$$BM^2 : HN^2 = AB\Gamma\Delta E : ZH\Theta K\Lambda.$$

Ergo similia polygona in circulis inscripta eam inter se rationem habent quam quadrata diametrorum; quod erat demonstrandum.

II.

Circuli eam inter se rationem habent quam quadrata diametrorum.

Sint circuli $AB\Gamma\Delta$, $EZH\Theta$ et eorum diametri $B\Delta$, $Z\Theta$. dico, esse

$$AB\Gamma\Delta : EZH\Theta = B\Delta^2 : Z\Theta^2.$$

II. Simplicius in phys. fol. 15. Psellus p. 65.

ΔB F. λέγω — p. 142, 5. ὡς τὸ ἀπό] λέγω, ὅτι ἐστὶν ὡς τὸ ἀπὸ τῆς $B\Delta$ τετράγωνον (comp. add. m. 2 V) πρὸς τὸ ἀπὸ τῆς $Z\Theta$ τετράγωνον (om. V) οὕτως ὁ $AB\Gamma\Delta$ κύκλος πρὸς τὸν $EZH\Theta$ κύκλον. εἰ γὰρ μή ἐστιν (hic seq. in q: ὁ $AB\Gamma\Delta$ κύκλος πρὸς τὸν $EZH\Theta$) ὡς τὸ ἀπὸ τῆς $B\Delta$ τετράγωνον (om. V) πρὸς τὸ ἀπὸ τῆς $Z\Theta$ (τετράγωνον add. Vq), οὕτως ὁ $AB\Gamma\Delta$ κύκλος πρὸς τὸν $EZH\Theta$ κύκλον (οὕτως — κύκλον om. q), ἔσται ὡς τὸ ἀπό (πρὸς τόν — ἀπό om. F) BFVq et P mg. m. 2 (γρ. καὶ οὕτως et in fine ἢ δῆτα γραφὴ καὶ κρείττων ἐστίν).


ἀπὸ τῆς $B\Delta$ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς $Z\Theta$ τετράγωνον.

Εἰ γὰρ μή ἐστιν ὡς ὁ $AB\Gamma\Delta$ κύκλος πρὸς τὸν $EZH\Theta$, οὕτως τὸ ἀπὸ τῆς $B\Delta$ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς $Z\Theta$, ἔσται ὡς τὸ ἀπὸ τῆς $B\Delta$ πρὸς τὸ ἀπὸ τῆς $Z\Theta$, οὕτως ὁ $AB\Gamma\Delta$ κύκλος ἤτοι πρὸς ἔλασσόν τι τοῦ $EZH\Theta$ κύκλου χωρίον ἢ πρὸς μεῖζον. ἔστω πρότερον πρὸς ἔλασσον τὸ Σ. καὶ ἐγγεγράφθω εἰς τὸν $EZH\Theta$ κύκλον τετράγωνον τὸ $EZH\Theta$· τὸ δὴ ἐγγεγραμμένον τετράγωνον μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ $EZH\Theta$ κύκλου, ἐπειδήπερ ἐὰν διὰ τῶν E, Z, H, Θ σημείων ἐφαπτομένας [εὐθείας] τοῦ κύκλου ἀγάγωμεν, τοῦ περιγραφομένου περὶ τὸν κύκλον τετραγώνου ἥμισύ ἐστι τὸ $EZH\Theta$ τετράγωνον, τοῦ δὲ περιγραφέντος τετραγώνου ἐλάττων ἐστὶν ὁ κύκλος· ὥστε τὸ $EZH\Theta$ ἐγγεγραμμένον τετράγωνον μεῖζόν ἐστι τοῦ ἡμίσεως τοῦ $EZH\Theta$ κύκλου. τετμήσθωσαν δίχα αἱ EZ, ZH, $H\Theta$, ΘE περιφέρειαι κατὰ τὰ K, Λ, M, N σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ EK, KZ, $Z\Lambda$, ΛH, HM, $M\Theta$, ΘN, NE· καὶ ἕκαστον ἄρα τῶν EKZ, $Z\Lambda H$, $HM\Theta$, ΘNE τριγώνων μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ κύκλου, ἐπειδήπερ ἐὰν διὰ τῶν K, Λ, M, N σημείων ἐφαπτομένας τοῦ κύκλου ἀγάγωμεν καὶ ἀναπληρώσωμεν τὰ ἐπὶ τῶν EZ, ZH, $H\Theta$, ΘE εὐθειῶν παραλληλόγραμμα, ἕκαστον

---

3. ὁ] supra m. 1 P. 5. τῆς $B\Delta$ — 6. κύκλος] om. F. 5. $B\Delta$ τετράγωνον V. 7. τι] om. V; supra ἔλασσον ras. est. κύκλου] supra scr. m. 1 V. 9. $EZH\Theta$] (alt.) E supra m. 1 V. δή] δέ FV. 12. εὐθείας] om. BFVq. 13. διάγωμεν Bq, διαγάγωμεν B m. 2 et F (δι- euan.). 15. ἐλάσσων φ. 17. ἡμίσεος BVq. 18. ΘE] supra m. 2 B. 20. EKZ] Z e corr. m. 1 V. 21. $HM\Theta$] H e corr. π; $\Theta HM\Theta$, del.

Nam si non est $AB\Gamma\Delta : EZH\Theta = B\Delta^2 : Z\Theta^2$, erit ut $B\Delta^2 : Z\Theta^2$, ita $AB\Gamma\Delta$ aut ad minus aliquod circulo $EZH\Theta$ spatium aut ad maius. sit prius ad minus, Σ. et in circulo $EZH\Theta$ inscribatur quadratum $EZH\Theta$ [IV, 6]. quadratum igitur inscriptum maius est quam dimidium circuli $EZH\Theta$, quoniam, si per puncta E, Z, H, Θ rectas circulum contingentes duxerimus, quadratum $EZH\Theta$ dimidium[1]) est quadrati circum circulum circumscripti, et circulus minor est quadrato circumscripto; quare quadratum inscriptum $EZH\Theta$ maius est quam dimidium circuli $EZH\Theta$.



iam arcus EZ, ZH, $H\Theta$, ΘE in punctis K, Λ, M, N in binas partes aequales secentur, et ducantur EK, KZ, $Z\Lambda$, ΛH, HM, $M\Theta$, ΘN, NE. itaque etiam singuli trianguli EKZ, $Z\Lambda H$, $HM\Theta$, ΘNE maiores sunt quam dimidia segmentorum circuli ad eos pertinentium, quoniam si per puncta K, Λ, M, N rectas circulum contingentes duxerimus et parallelogramma in rectis EZ, ZH, $H\Theta$, ΘE posita expleuerimus,

1) Hoc facile ex I, 47 demonstratur, coll. VI, 20 coroll.

r. Θ et supra scr. bis M F. ΘNE] supra add. N m. 2 F. 22. ἑαυτό] corr. ex ἑαυτόν m. 2 B. 25. Post ἕκαστον dd. ἄρα m. 2 F.

τῶν *ΕΚΖ*, *ΖΛΗ*, *ΗΜΘ*, *ΘΝΕ* τριγώνων ἥμισυ ἔσται τοῦ καθ' ἑαυτὸ παραλληλογράμμου, ἀλλὰ τὸ καθ' ἑαυτὸ τμῆμα ἔλαττόν ἐστι τοῦ παραλληλογράμμου· ὥστε ἕκαστον τῶν *ΕΚΖ*, *ΖΛΗ*, *ΗΜΘ*, *ΘΝΕ* τριγώνων μεῖζόν ἐστι τοῦ ἡμίσεως τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ κύκλου. τέμνοντες δὴ τὰς ὑπολειπομένας περιφερείας δίχα καὶ ἐπιζευγνύντες εὐθείας καὶ τοῦτο ἀεὶ ποιοῦντες καταλείψομέν τινα ἀποτμήματα τοῦ κύκλου, ἃ ἔσται ἐλάσσονα τῆς ὑπεροχῆς, ᾗ ὑπερέχει ὁ *ΕΖΗΘ* κύκλος τοῦ *Σ* χωρίου. ἐδείχθη γὰρ ἐν τῷ πρώτῳ θεωρήματι τοῦ δεκάτου βιβλίου, ὅτι δύο μεγεθῶν ἀνίσων ἐκκειμένων, ἐὰν ἀπὸ τοῦ μείζονος ἀφαιρεθῇ μεῖζον ἢ τὸ ἥμισυ καὶ τοῦ καταλειπομένου μεῖζον ἢ τὸ ἥμισυ, καὶ τοῦτο ἀεὶ γίγνηται, λειφθήσεταί τι μέγεθος, ὃ ἔσται ἔλασσον τοῦ ἐκκειμένου ἐλάσσονος μεγέθους. λελείφθω οὖν, καὶ ἔστω τὰ ἐπὶ τῶν *ΕΚ*, *ΚΖ*, *ΖΛ*, *ΛΗ*, *ΗΜ*, *ΜΘ*, *ΘΝ*, *ΝΕ* τμήματα τοῦ *ΕΖΗΘ* κύκλου ἐλάττονα τῆς ὑπεροχῆς, ᾗ ὑπερέχει ὁ *ΕΖΗΘ* κύκλος τοῦ *Σ* χωρίου. λοιπὸν ἄρα τὸ *ΕΚΖΛΗΜΘΝ* πολύγωνον μεῖζόν ἐστι τοῦ *Σ* χωρίου. ἐγγεγράφθω καὶ εἰς τὸν *ΑΒΓΔ* κύκλον τῷ *ΕΚΖΛΗΜΘΝ* πολυγώνῳ ὅμοιον πολύγωνον τὸ *ΑΞΒΟΓΠΔΡ*· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς *ΒΔ* τετράγωνον πρὸς τὸ ἀπὸ τῆς *ΖΘ* τετράγωνον, οὕτως τὸ *ΑΞΒΟΓΠΔΡ* πολύγωνον πρὸς τὸ *ΕΚΖΛΗΜΘΝ* πολύγωνον. ἀλλὰ καὶ ὡς τὸ ἀπὸ τῆς *ΒΔ* τετράγωνον πρὸς τὸ ἀπὸ τῆς *ΖΘ*, οὕτως ὁ *ΑΒΓΔ* κύκλος πρὸς τὸ *Σ* χωρίον· καὶ ὡς ἄρα ὁ *ΑΒΓΔ* κύκλος πρὸς τὸ *Σ* χωρίον, οὕτως τὸ

1. *ΕΚΖ*] *ΚΖ* in ras. m. 1 P; *ΕΖΚ* q. Post *ΘΝΕ* ras. 2 litt. B. τριγώνων] ι in ras. m. 2 B. ἥμισυ — 4. τριγώνων] *bis B.* 2. ἑαυτό] corr. ex ἑαυτόν m. 2 B (priore tantum loco).

singuli trianguli *EKZ*, *ZΛH*, *HMΘ*, *ΘNE* dimidia sunt parallelogrammorum ad eos pertinentium, et segmenta ad eos pertinentia minora sunt parallelogrammis; quare singuli trianguli *EKZ*, *ZΛH*, *HMΘ*, *ΘNE* maiores sunt quam dimidia segmentorum ad eos pertinentium. itaque relictos arcus secantes et rectas ducentes et hoc semper facientes segmenta quaedam circuli relinquemus, quae minora erunt excessu, quo circulus *EZHΘ* spatium *Σ* excedit; nam in primo theoremate decimi libri demonstratum est, si datis duabus magnitudinibus inaequalibus a maiore plus quam dimidium subtrahatur et a relicta plus quam dimidium et hoc semper fiat, magnitudinem relictum iri, quae minor sit data magnitudine minore. relinquatur igitur, et segmenta circuli *EZHΘ* in rectis *EK*, *KZ*, *ZΛ*, *ΛH*, *HM*, *MΘ*, *ΘN*, *NE* posita minora sint excessu, quo circulus *EZHΘ* spatium *Σ* excedit. itaque $EKZΛHMΘN > Σ$. inscribatur etiam in circulo *ABΓΔ* polygonum *AΞBOΓΠΔP* polygono *EKZΛHMΘN* simile. erit igitur $BΔ^2 : ZΘ^2 = AΞBOΓΠΔP : EKZΛHMΘN$ [prop. I]. uerum etiam $BΔ^2 : ZΘ^2 = ABΓΔ : Σ$. quare etiam $ABΓΔ : Σ$

---

3. *αὐτό* P. *ἔλασσον* B (utroque loco), Vq; comp. F. 4. *ὥστε καί* V. 5. *ἡμίσεος* BFVq. 8. *αἰεί* F, *ἀεί* φ. *τμήματα* B. 9. *ἐλάττονα* BFVq. 10. *Σ*] corr. ex *E* B. 12. *ἐκ-* corr. ex *ἐγ-* in scr. F. 13. *καί* — 14. *ἥμισυ*] om. P. 14. *ληφθήσεται* q. 15. *ἔσται*] *ἐστιν* FV. 16. *λελήφθω* F et V (sed corr.); *εἰλήφθω* q. 17. *HM*] mg. m. 1 P. *τμήματα* — 18. *κύκλου*] mg. m. 1 V. 18. *EZHΘ*] *EZΘ* V, *EZ* q. *ἐλάσσονα* B. 19. *EZHΘ*] pro *E* c in ras. φ. 20. *EZKΛHMΘN* P. *πολυγώνιον* q. 22. *ὅμοιον*] in ras. m. 2 V. *O* in ras. m. 1 B; *Γ* mg. V. 24. *οὕτως* — 26. *ZΘ*] bis V, corr. m. 1.

ΑΞΒΟΓΠΔΡ πολύγωνον πρὸς τὸ *ΕΚΖΛΗΜΘΝ* πολύγωνον· ἐναλλὰξ ἄρα ὡς ὁ *ΑΒΓΔ* κύκλος πρὸς τὸ ἐν αὐτῷ πολύγωνον, οὕτως τὸ *Σ* χωρίον πρὸς τὸ *ΕΚΖΛΗΜΘΝ* πολύγωνον. μείζων δὲ ὁ *ΑΒΓΔ* κύκλος τοῦ ἐν αὐτῷ πολυγώνου· μεῖζον ἄρα καὶ τὸ *Σ* χωρίον τοῦ *ΕΚΖΛΗΜΘΝ* πολυγώνου. ἀλλὰ καὶ ἔλαττον· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς *ΒΔ* τετράγωνον πρὸς τὸ ἀπὸ τῆς *ΖΘ*, οὕτως ὁ *ΑΒΓΔ* κύκλος πρὸς ἔλασσόν τι τοῦ *ΕΖΗΘ* κύκλου χωρίον. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ὡς τὸ ἀπὸ *ΖΘ* πρὸς τὸ ἀπὸ *ΒΔ*, οὕτως ὁ *ΕΖΗΘ* κύκλος πρὸς ἔλασσόν τι τοῦ *ΑΒΓΔ* κύκλου χωρίον.

Λέγω δή, ὅτι οὐδὲ ὡς τὸ ἀπὸ τῆς *ΒΔ* πρὸς τὸ ἀπὸ τῆς *ΖΘ*, οὕτως ὁ *ΑΒΓΔ* κύκλος πρὸς μεῖζόν τι τοῦ *ΕΖΗΘ* κύκλου χωρίον.

Εἰ γὰρ δυνατόν, ἔστω πρὸς μεῖζον τὸ *Σ*. ἀνάπαλιν ἄρα [ἐστὶν] ὡς τὸ ἀπὸ τῆς *ΖΘ* τετράγωνον πρὸς τὸ ἀπὸ τῆς *ΔΒ*, οὕτως τὸ *Σ* χωρίον πρὸς τὸν *ΑΒΓΔ* κύκλον. ἀλλ' ὡς τὸ *Σ* χωρίον πρὸς τὸν *ΑΒΓΔ* κύκλον, οὕτως ὁ *ΕΖΗΘ* κύκλος πρὸς ἔλαττόν τι τοῦ *ΑΒΓΔ* κύκλου χωρίον· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς *ΖΘ* πρὸς τὸ ἀπὸ τῆς *ΒΔ*, οὕτως ὁ *ΕΖΗΘ* κύκλος πρὸς ἔλασσόν τι τοῦ *ΑΒΓΔ* κύκλου χωρίον· ὅπερ ἀδύνατον ἐδείχθη. οὐκ ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς *ΒΔ* τετράγωνον πρὸς τὸ ἀπὸ τῆς *ΖΘ*, οὕτως ὁ *ΑΒΓΔ* κύκλος πρὸς μεῖζόν τι τοῦ *ΕΖΗΘ* κύκλου χωρίον. ἐδείχθη δέ, ὅτι οὐδὲ πρὸς ἔλασσον· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς *ΒΔ* τετράγωνον πρὸς τὸ ἀπὸ τῆς *ΖΘ*, οὕτως ὁ *ΑΒΓΔ* κύκλος πρὸς τὸν *ΕΖΗΘ* κύκλον.

---

3. ἐν αὐτῷ] *ΑΞΒΟΓΠΔΡ* V. 4. μείζων] corr. ex ζον m. 1 BV. 5. καί] supra m. 2 B. 7. ἐστίν] om. V

$= A\Xi BO\Gamma\Pi\Delta P : EKZ\Lambda HM\Theta N$. itaque permutando [V, 16]

$$AB\Gamma\Delta : A\Xi BO\Gamma\Pi\Delta P = \Sigma : EKZ\Lambda HM\Theta N.$$

sed $AB\Gamma\Delta > A\Xi BO\Gamma\Pi\Delta P$. quare etiam

$$\Sigma > EKZ\Lambda HM\Theta N.$$

uerum etiam $\Sigma < EKZ\Lambda HM\Theta N$; quod fieri non potest. itaque non est ut $B\Delta^2$ ad $Z\Theta^2$, ita circulus $AB\Gamma\Delta$ ad spatium aliquod minus circulo $EZH\Theta$. iam similiter demonstrabimus, ne circulum $EZH\Theta$ quidem ad spatium aliquod minus circulo $AB\Gamma\Delta$ eam rationem habere quam $Z\Theta^2 : B\Delta^2$.

Iam dico, ne ad maius quidem spatium aliquod circulo $EZH\Theta$ circulum $AB\Gamma\Delta$ eam rationem habere quam $B\Delta^2 : Z\Theta^2$.

nam si fieri potest, habeat ad Σ maius circulo $EZH\Theta$. e contrario igitur [V, 7 coroll.] $Z\Theta^2 : B\Delta^2 = \Sigma : AB\Gamma\Delta$. uerum ut Σ spatium ad circulum $AB\Gamma\Delta$, ita circulus $EZH\Theta$ ad spatium minus circulo $AB\Gamma\Delta$ [u. lemma]. quare etiam ut $Z\Theta^2 : B\Delta^2$, ita circulus $EZH\Theta$ ad spatium aliquod minus circulo $AB\Gamma\Delta$; quod fieri non posse demonstratum est. itaque non est, ut $B\Delta^2 : Z\Theta^2$, ita circulus $AB\Gamma\Delta$ ad spatium aliquod maius circulo $EZH\Theta$. demonstrauimus autem, ne ad minus quidem eum illam habere rationem. est igitur $B\Delta^2 : Z\Theta^2 = AB\Gamma\Delta : EZH\Theta$.

ἐστίν — ἄρα] supra m. 2 B. 8. τῆς] om. Bq. ἀπὸ τῆς] om. V. $Z\Theta$ τετράγωνον BFVq. 9. ἔλαττον B. 10. τῆς $Z\Theta$ V. 11. τῆς $B\Delta$ V. 13. δή] δέ FV. οὐδ' F. 17. ἐστίν] om. P. 18. ΔB] $B\Delta$ τετράγωνον V. 19. ἀλλ' ὡς — 20. κύκλον] om. q. 20. κύκλον] om. V; mg. m. 1: ὡς εὐθὺς ἐρεῖ P. ἔλασσον BVq. 24. $B\Delta$] AB P. 27. πρός] om. V. 28. $B\Delta$] AB P. $Z\Theta$ τετράγωνον BV.

Οἱ ἄρα κύκλοι πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα· ὅπερ ἔδει δεῖξαι.

Λῆμμα.

Λέγω δή, ὅτι τοῦ Σ χωρίου μείζονος ὄντος τοῦ ΕΖΗΘ κύκλου ἐστὶν ὡς τὸ Σ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον, οὕτως ὁ ΕΖΗΘ κύκλος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον.

Γεγονέτω γὰρ ὡς τὸ Σ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον, οὕτως ὁ ΕΖΗΘ κύκλος πρὸς τὸ Τ χωρίον. λέγω, ὅτι ἔλαττόν ἐστι τὸ Τ χωρίον τοῦ ΑΒΓΔ κύκλου. ἐπεὶ γάρ ἐστιν ὡς τὸ Σ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον, οὕτως ὁ ΕΖΗΘ κύκλος πρὸς τὸ Τ χωρίον, ἐναλλάξ ἐστιν ὡς τὸ Σ χωρίον πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸ Τ χωρίον. μεῖζον δὲ τὸ Σ χωρίον τοῦ ΕΖΗΘ κύκλου· μείζων ἄρα καὶ ὁ ΑΒΓΔ κύκλος τοῦ Τ χωρίου. ὥστε ἐστὶν ὡς τὸ Σ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον, οὕτως ὁ ΕΖΗΘ κύκλος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον· ὅπερ ἔδει δεῖξαι.

γ'.

Πᾶσα πυραμὶς τρίγωνον ἔχουσα βάσιν διαιρεῖται εἰς δύο πυραμίδας ἴσας τε καὶ ὁμοίας ἀλλήλαις καὶ [ὁμοίας] τῇ ὅλῃ τριγώνους ἐχούσας βάσεις καὶ εἰς δύο πρίσματα ἴσα· καὶ τὰ δύο πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος.

---

3. λῆμμα] om. codd. 6. ἔλασσον BVq. 7. κύκλου] om. V. 9. τό] corr. ex τόν m. 1 P. 10. ἔλασσον B, comp. F. 12. κύκλος] om. V. 13. Σ] E F. 15. μεῖζον] -ον

Ergo circuli eam inter se rationem habent quam uadrata diametrorum; quod erat demonstrandum.

Corollarium.[1])

Dico, si $EZH\Theta > \Sigma$, esse ut Σ spatium ad cir-ulum $AB\Gamma\Delta$, ita circulus $EZH\Theta$ ad spatium ali-uod minus circulo $AB\Gamma\Delta$.

fiat enim $\Sigma : AB\Gamma\Delta = EZH\Theta : T$. dico, esse $T < AB\Gamma\Delta$. nam quoniam est $\Sigma : AB\Gamma\Delta = EZH\Theta : T$, ermutando erit [V, 16] $\Sigma : EZH\Theta = AB\Gamma\Delta : T$. ed $\Sigma > EZH\Theta$. quare etiam $AB\Gamma\Delta > T$ [V, 14]. st igitur, ut spatium Σ ad $AB\Gamma\Delta$ circulum, ita cir-ulus $EZH\Theta$ ad spatium minus circulo $AB\Gamma\Delta$; quod erat demonstrandum.

III.

Omnis pyramis triangulam basim habens in duas pyramidas inter se et aequales et similes totique similes riangulas bases habentes et in duo prismata aequalia liuiditur; et duo prismata maiora sunt dimidio totius pyramidis.

---

1) Hoc lemma an genuinum non sit, dubitare licet; etiam oci quidam in ipsa demonstratione suspecti sunt. sed de hoc toto genere, scilicet interpolationibus ante Theonem ortis, post nodo uidebimus.

---

corr. V. Σ] E F. 18. ἔλασσον BFVq. κύκλου] om. V. 20. γ′] om. q; non liquet F. 21. Post τρίγωνον 4 litt. ras. P. 22. Post εἰς ins. τε m. 2 F. τε καὶ ὁμοίας] upra m. 2 B, om. FVq. 23. ἀλλήλας P, -ας e corr. Dein eq. in BFVq: τριγώνους (ου e corr. V) ἐχούσας (corr. ex χουσα m. 2 F) βάσεις. ὁμοίας] om. P. τριγώνου P, corr. n. 1. τριγώνους ἐχούσας βάσεις] om. BFVq. 24. ἴσα] om. ', in ras. V. καὶ τὰ δύο πρίσματα] om. F.

Ἔστω πυραμίς, ἧς βάσις μέν ἐστι τὸ ΑΒΓ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον· λέγω, ὅτι ἡ ΑΒΓΔ πυραμὶς διαιρεῖται εἰς δύο πυραμίδας ἴσας ἀλλήλαις τριγώνους βάσεις ἐχούσας καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα· καὶ τὰ δύο πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος.

Τετμήσθωσαν γὰρ αἱ ΑΒ, ΒΓ, ΓΑ, ΑΔ, ΔΒ, ΔΓ δίχα κατὰ τὰ Ε, Ζ, Η, Θ, Κ, Λ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΘΕ, ΕΗ, ΗΘ, ΘΚ, ΚΛ, ΛΘ, ΚΖ, ΖΗ. ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΕ τῇ ΕΒ, ἡ δὲ ΑΘ τῇ ΔΘ, παράλληλος ἄρα ἐστὶν ἡ ΕΘ τῇ ΔΒ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΘΚ τῇ ΑΒ παράλληλός ἐστιν. παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΘΕΒΚ· ἴση ἄρα ἐστὶν ἡ ΘΚ τῇ ΕΒ. ἀλλὰ ἡ ΕΒ τῇ ΕΑ ἐστιν ἴση· καὶ ἡ ΑΕ ἄρα τῇ ΘΚ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ΑΘ τῇ ΘΔ ἴση· δύο δὴ αἱ ΕΑ, ΑΘ δυσὶ ταῖς ΚΘ, ΘΔ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΕΑΘ γωνίᾳ τῇ ὑπὸ ΚΘΔ ἴση· βάσις ἄρα ἡ ΕΘ βάσει τῇ ΚΔ ἐστιν ἴση. ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ ΑΕΘ τρίγωνον τῷ ΘΚΔ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΘΗ τρίγωνον τῷ ΘΛΔ τριγώνῳ ἴσον τέ ἐστι καὶ ὅμοιον. καὶ ἐπεὶ δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΕΘ, ΘΗ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΚΔ, ΔΛ εἰσιν οὐκ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι, ἴσας γωνίας περιέξουσιν. ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΕΘΗ γωνία τῇ ὑπὸ ΚΔΛ γωνίᾳ. καὶ ἐπεὶ δύο εὐθεῖαι αἱ ΕΘ, ΘΗ δυσὶ ταῖς ΚΔ, ΔΛ ἴσαι εἰσὶν ἑκατέρα ἑκα-

1. τό] corr. ex ἡ m. 2 F. ΑΒΓΔ F, et B, eras. Δ. τρίγωνον] Δ' F. 7. ΔΒ] ΔΕ F. 8. ΔΓ] Γ e corr. m. 1 F. 9. ΕΗ] ΗΕ FV. ΘΚ] supra scr. m. 2 B. 11. ΔΘ] in ras. V, ΘΔ B, ΕΔ F. ΔΒ] ΔΕ F. 12. ἐστι

Sit pyramis, cuius basis sit $AB\Gamma$ triangulus, uertex autem punctum Δ. dico, pyramidem $AB\Gamma\Delta$ in duas pyramides diuidi inter se aequales triangulas bases habentes et toti similes et in duo prismata aequalia, et duo prismata maiora esse dimidio totius pyramidis.

secentur enim AB, $B\Gamma$, ΓA, $A\Delta$, ΔB, $\Delta\Gamma$ in duas partes aequales in punctis E, Z, H, Θ, K, Λ, et ducantur ΘE, EH, $H\Theta$, ΘK, $K\Lambda$, $\Lambda\Theta$, KZ, ZH. iam quoniam $AE = EB$, $A\Theta = \Delta\Theta$, erit $E\Theta$ rectae ΔB parallela [VI, 2]. eadem de causa etiam ΘK rectae AB parallela est. itaque parallelogrammum est ΘEBK. itaque $\Theta K = EB$ [I, 34]. uerum etiam $EB = EA$. quare etiam $EA = \Theta K$. uerum etiam $A\Theta = \Theta\Delta$. itaque duae rectae EA, $A\Theta$ duabus $K\Theta$, $\Theta\Delta$ aequales sunt singulae singulis; et $\angle EA\Theta = K\Theta\Delta$ [I, 29]. itaque $E\Theta = K\Delta$ [I, 4]. quare triangulus $AE\Theta$ triangulo $\Theta K\Delta$ et aequalis est et similis [I, 4]. eadem de causa etiam triangulus $A\Theta H$ triangulo $\Theta\Lambda\Delta$ et aequalis est et similis. et quoniam duae rectae inter se tangentes $E\Theta$, ΘH duabus rectis inter se tangentibus $K\Delta$, $\Delta\Lambda$ parallelae sunt in eodem plano non positae, aequales angulos comprehendent [XI, 10]. itaque $\angle E\Theta H = K\Delta\Lambda$. et quoniam duae rectae $E\Theta$, ΘH duabus rectis $K\Delta$, $\Delta\Lambda$ aequales sunt singulae

---

q. 14. EA] in ras. V, AE BF. 15. AE] EA P. ἔστι] ἔστιν P. $A\Theta$] ΘA P. 16. $\Theta\Delta$] $\Delta\Theta$ B. EA] $E\Delta$ q, AE BV. 17. EA, $A\Theta$ PB. 18. $K\Theta$, $\Theta\Delta$ PBF. 19. ἴση ἐστί q. $AE\Theta\Delta$ F. 20. τρίγωνον] comp. F. $K\Theta\Delta$ FV. 21. ABH φ. $\Theta K\Delta$ F. Post τριγώνῳ rep. in F: διὰ τὰ αὐτὰ δὴ καὶ τὸ $A\Theta H$ τρίγωνον τῷ $\Theta\Lambda\Delta$ τριγώνῳ. τε] om. P. 23. ἁπτόμεναι q. 25. ἔσται q. $E\Theta$, ΘH PBF. 26. $K\Delta$, $\Delta\Lambda$ PF, et B, alt. Δ eras.

τέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΕΘΗ γωνίᾳ τῇ ὑπὸ ΚΔΛ ἐστιν ἴση, βάσις ἄρα ἡ ΕΗ βάσει τῇ ΚΛ [ἐστιν] ἴση· ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ ΕΘΗ τρίγωνον τῷ ΚΔΛ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΕΗ τρίγωνον τῷ ΘΚΛ τριγώνῳ ἴσον τε καὶ ὅμοιόν ἐστιν. ἡ ἄρα πυραμίς, ἧς βάσις μέν ἐστι τὸ ΑΕΗ τρίγωνον, κορυφὴ δὲ τὸ Θ σημεῖον, ἴση καὶ ὁμοία ἐστὶ πυραμίδι, ἧς βάσις μέν ἐστι τὸ ΘΚΛ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον. καὶ ἐπεὶ τριγώνου τοῦ ΑΔΒ παρὰ μίαν τῶν πλευρῶν τὴν ΑΒ ἦκται ἡ ΘΚ, ἰσογώνιόν ἐστι τὸ ΑΔΒ τρίγωνον τῷ ΔΘΚ τριγώνῳ, καὶ τὰς πλευρὰς ἀνάλογον ἔχουσιν· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΔΒ τρίγωνον τῷ ΔΘΚ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν ΔΒΓ τρίγωνον τῷ ΔΚΛ τριγώνῳ ὅμοιόν ἐστιν, τὸ δὲ ΑΔΓ τῷ ΔΛΘ. καὶ ἐπεὶ δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΒΑ, ΑΓ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΚΘ, ΘΛ εἰσιν οὐκ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ἴσας γωνίας περιέξουσιν. ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΚΘΛ. καί ἐστιν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΚΘ πρὸς τὴν ΘΛ· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΘΚΛ τριγώνῳ. καὶ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ ΑΒΓ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον, ὁμοία ἐστὶ πυραμίδι, ἧς βάσις μέν ἐστι τὸ ΘΚΛ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον. ἀλλὰ πυραμίς, ἧς βάσις μὲν [ἐστι] τὸ ΘΚΛ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον, ὁμοία ἐδείχθη

---

1. ΕΘ, ΘΗ PF, et B, eras. alt. Θ. ΚΔ, ΔΛ PBF. 2. ΕΗ] ΗΕ F, ὑπὸ ΕΗ B. ἐστιν] om. P. 3. ΚΛΔ FV. 4. ΕΑΗ FV. 5. τέ ἐστιν καὶ ὅμοιον P. 7. ἐστί] ἐστὶ τῇ FVq. 8. ΘΚΛ] Θ in ras. B. 11. ΑΒΔ P. τοῦ ΔΘΚ τριγώνου F. ΔΘΚ] ΘΔΚ V; ΔΚΘ B. 12. ΑΔΒ] corr. ex ΑΒΔ V, ΑΒΔ F. 14. ἐστι PBVq, comp. F.

ingulis[1]), et $\angle E\Theta H = K\Delta\Lambda$, erit $EH = K\Lambda$. quare riangulus $E\Theta H$ triangulo $K\Delta\Lambda$ et aequalis est et imilis [I, 4]. eadem de causa etiam triangulus AEH riangulo $\Theta K\Lambda$ et aequalis est et similis. itaque pyamis, cuius basis est triangulus AEH, uertex autem unctum Θ, aequalis est et similis pyramidi, cuius asis est $\Theta K\Lambda$ triangulus, uertex autem punctum Δ XI def. 10]. et quoniam in triangulo $A\Delta B$ uni lateri AB parallela ducta est ΘK, triangulus $A\Delta B$ triangulo $\Delta\Theta K$ aequiangulus est [I, 29], et latera proportioalia habent. itaque triangulus $A\Delta B$ triangulo $\Delta\Theta K$ imilis est [VI def. 1]. eadem de causa etiam triangulus $\Delta B\Gamma$ triangulo $\Delta K\Lambda$ similis est et $A\Delta\Gamma$ triangulo $\Delta\Lambda\Theta$. et quoniam duae rectae inter se tangentes BA, $A\Gamma$ duabus rectis inter se tangentibus $K\Theta$, $\Theta\Lambda$ parallelae sunt non in eodem plano, aequales ngulos comprehendent [XI, 10]. itaque $\angle BA\Gamma = K\Theta\Lambda$. $BA : A\Gamma = K\Theta : \Theta\Lambda$.[2]) itaque triangulus $AB\Gamma$ iangulo $\Theta K\Lambda$ similis est [VI, 6]. quare etiam pymis, cuius basis est triangulus $AB\Gamma$, uertex autem punctum, similis est pyramidi, cuius basis est iangulus $\Theta K\Lambda$, uertex autem Δ punctum [XI def. 9]. d pyramis, cuius basis est triangulus $\Theta K\Lambda$, uertex tem Δ punctum, similis est pyramidi, cuius basis

1) Nam $E\Theta = K\Delta$ et $\triangle\ A\Theta H \cong \Theta\Delta\Lambda$.

2) Nam $AB : \Theta K = A\Delta : \Theta\Delta$, quia $\triangle\ AB\Delta \sim \Theta K\Delta$; et $\Delta : \Theta\Delta = A\Gamma : \Theta\Lambda$, quia $\triangle\ A\Gamma\Delta \sim \Delta\Theta\Lambda$. tum u. V, 16.


5. $AB\Gamma$ F. $\Delta\Lambda\Theta$ τριγώνῳ Theon (BFVq). 16. Post λλήλων del. m. 1: αἱ BA, $A\Gamma$ P. 17. ΘK FV. 19. γωία] om. V. ὡς] supra m. 1 V. ἡ] corr. ex A V. 2. ἄρα] om. FV. 23. ἐστίν B. 25. ἧς βάσις] mg. m. 1 P. ἐστι] om. PF. ἐστι τό — p. 154, 1 μέν ἐστι] mg. m. 2 B.

πυραμίδι, ἧς βάσις μέν ἐστι τὸ *ΑΕΗ* τρίγωνον, κορυφὴ δὲ τὸ *Θ* σημεῖον [ὥστε καὶ πυραμίς, ἧς βάσις μὲν τὸ *ΑΒΓ* τρίγωνον, κορυφὴ δὲ τὸ *Δ* σημεῖον, ὁμοία ἐστὶ πυραμίδι, ἧς βάσις μὲν τὸ *ΑΕΗ* τρίγωνον, κορυφὴ δὲ τὸ *Θ* σημεῖον]. ἑκατέρα ἄρα τῶν *ΑΕΗΘ*, *ΘΚΛΔ* πυραμίδων ὁμοία ἐστὶ τῇ ὅλῃ τῇ *ΑΒΓΔ* πυραμίδι. — Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ *ΒΖ* τῇ *ΖΓ*, διπλάσιόν ἐστι τὸ *ΕΒΖΗ* παραλληλόγραμμον τοῦ *ΗΖΓ* τριγώνου. καὶ ἐπεί, ἐὰν ᾖ δύο πρίσματα ἰσοϋψῆ, καὶ τὸ μὲν ἔχῃ βάσιν παραλληλόγραμμον, τὸ δὲ τρίγωνον, διπλάσιον δὲ ᾖ τὸ παραλληλόγραμμον τοῦ τριγώνου, ἴσα ἐστὶ τὰ πρίσματα, ἴσον ἄρα ἐστὶ τὸ πρίσμα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν *ΒΚΖ*, *ΕΘΗ*, τριῶν δὲ παραλληλογράμμων τῶν *ΕΒΖΗ*, *ΕΒΚΘ*, *ΘΚΖΗ* τῷ πρίσματι τῷ περιεχομένῳ ὑπὸ δύο μὲν τριγώνων τῶν *ΗΖΓ*, *ΘΚΛ*, τριῶν δὲ παραλληλογράμμων τῶν *ΚΖΓΛ*, *ΛΓΗΘ*, *ΘΚΖΗ*. καὶ φανερόν, ὅτι ἑκάτερον τῶν πρισμάτων, οὗ τε βάσις τὸ *ΕΒΖΗ* παραλληλόγραμμον, ἀπεναντίον δὲ ἡ *ΘΚ* εὐθεῖα, καὶ οὗ βάσις τὸ *ΗΖΓ* τρίγωνον, ἀπεναντίον δὲ τὸ *ΘΚΛ* τρίγωνον, μεῖζόν ἐστιν ἑκατέρας τῶν πυραμίδων, ὧν βάσεις μὲν τὰ *ΑΕΗ*, *ΘΚΛ* τρίγωνα, κορυφαὶ δὲ τὰ *Θ*, *Δ* σημεῖα, ἐπειδήπερ [καί] ἐὰν ἐπιζεύξωμεν τὰς *ΕΖ*, *ΕΚ* εὐθείας, τὸ μὲν πρίσμα, οὗ βάσις τὸ *ΕΒΖΗ* παραλληλόγραμμον, ἀπεναντίον δὲ ἡ *ΘΚ* εὐθεῖα, μεῖζόν ἐστι τῆς πυραμίδος, ἧς βάσις τὸ *ΕΒΖ* τρίγωνον, κορυφὴ δὲ τὸ *Κ* σημεῖον. ἀλλ

1. ἐστι] om. Fq. τό] et in textu et mg. m. 2 B. 2. ὥστε — 5. σημεῖον] om. P. 3. μέν ἐστι V. 4. ἐστί] om. F. μέν ἐστι V. τρίγωνον] $\overline{\Delta N}$ F. 7. πυραμίδι] in syll. πυρα des. F; reliquam partem a φ suppletam hic neglexi. 10. ἔχῃ] corr. ex ἔχει m. 2 P. 11. ᾖ] εἴη V. 14. *ΚΖΒ* V.

est AEH triangulus, uertex autem Θ punctum, ut demonstrauimus. itaque utraque pyramis $AEH\Theta$, $\Theta K\Lambda\Delta$ similis est toti pyramidi $AB\Gamma\Delta$.

Et quoniam $BZ = Z\Gamma$, erit $EBZH = 2HZ\Gamma$ [I, 41]. et quoniam, si datis duobus prismatis eandem altitudinem habentibus alterum basim habet parallelogrammum, alterum triangulum, et parallelogrammum duplo maius est triangulo, prismata aequalia sunt, prisma comprehensum duobus triangulis BKZ, $E\Theta H$ et tribus parallelogrammis $EBZH$, $EBK\Theta$, ΘKZH aequale est prismati comprehenso duobus triangulis $HZ\Gamma$, $\Theta K\Lambda$ et tribus parallelogrammis $KZ\Gamma\Lambda$, $\Lambda\Gamma H\Theta$, ΘKZH [XI, 39]. et adparet, utrumque prisma, et cuius basis sit $EBZH$ parallelogrammum, ei autem opposita recta ΘK, et cuius basis sit triangulus $HZ\Gamma$, ei autem oppositus triangulus $\Theta K\Lambda$, maius esse utraque pyramide, quarum bases sint trianguli AEH, $\Theta K\Lambda$, uertices autem puncta Θ, Δ, quoniam, si duxerimus rectas EZ, EK, prisma, cuius basis est parallelogrammum $EBZH$, ei autem opposita recta ΘK, maius est pyramide, cuius basis est triangulus EBZ, uertex autem



17. Post τῶν del. Z m. 1 V. $KZ\Gamma\Lambda$, $\Lambda\Gamma H\Theta$, ΘKZH] mg. m. 2 B, in textu eras. $\overline{EB}$, $\overline{ZH}$, $\overline{K\Theta}$. 18. ὅτι καί V. 19. $EBZH$] B in ras. B. 22. βάσις PVq, et B, sed corr. AEH] in ras. V. κορυφή q. 23. καί] om. BVq. 26. μεῖζον] supra scr. ω m. rec. P. τῆς] om. V. 27. τρίγωνόν ἐστι V.

ἡ πυραμίς, ἧς βάσις τὸ EBZ τρίγωνον, κορυφὴ δὲ τὸ K σημεῖον, ἴση ἐστὶ πυραμίδι, ἧς βάσις τὸ AEH τρίγωνον, κορυφὴ δὲ τὸ Θ σημεῖον· ὑπὸ γὰρ ἴσων καὶ ὁμοίων ἐπιπέδων περιέχονται. ὥστε καὶ τὸ πρίσμα, οὗ βάσις μὲν τὸ $EBZH$ παραλληλόγραμμον, ἀπεναντίον δὲ ἡ ΘK εὐθεῖα, μεῖζόν ἐστι πυραμίδος, ἧς βάσις μὲν τὸ AEH τρίγωνον, κορυφὴ δὲ τὸ Θ σημεῖον. ἴσον δὲ τὸ μὲν πρίσμα, οὗ βάσις τὸ $EBZH$ παραλληλόγραμμον, ἀπεναντίον δὲ ἡ ΘK εὐθεῖα, τῷ πρίσματι, οὗ βάσις μὲν τὸ $HZ\Gamma$ τρίγωνον, ἀπεναντίον δὲ τὸ $\Theta K\Lambda$ τρίγωνον· ἡ δὲ πυραμίς, ἧς βάσις τὸ AEH τρίγωνον, κορυφὴ δὲ τὸ Θ σημεῖον, ἴση ἐστὶ πυραμίδι, ἧς βάσις τὸ $\Theta K\Lambda$ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον. τὰ ἄρα εἰρημένα δύο πρίσματα μείζονά ἐστι τῶν εἰρημένων δύο πυραμίδων, ὧν βάσεις μὲν τὰ AEH, $\Theta K\Lambda$ τρίγωνα, κορυφαὶ δὲ τὰ Θ, Δ σημεῖα.

Ἡ ἄρα ὅλη πυραμίς, ἧς βάσις τὸ $AB\Gamma$ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον, διῄρηται εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις [καὶ ὁμοίας τῇ ὅλῃ] καὶ εἰς δύο πρίσματα ἴσα, καὶ τὰ δύο πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος· ὅπερ ἔδει δεῖξαι.

δʹ.

Ἐὰν ὦσι δύο πυραμίδες ὑπὸ τὸ αὐτὸ ὕψος τριγώνους ἔχουσαι βάσεις, διαιρεθῇ δὲ ἑκατέρα αὐτῶν εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα

---

2. τό] (alt.) τά q. 4. τό] om. V. 15. δύο] β V (in mg. transit). πυραμίδων] in ras. m. 1 B. βάσεις] βάσις B (corr. m. 2), q, comp. V. $\Theta K\Lambda$] ΘK in ras. V. 18. τε] om. V. 19. ἴσας τε καὶ ὁμοίας edd. καὶ ὁμοίας τῇ ὅλῃ] om. P.

punctum K; pyramis autem, cuius basis est triangulus EBZ, uertex autem punctum K, aequalis est pyramidi, cuius basis est AEH triangulus, uertex autem punctum Θ; nam planis aequalibus et similibus comprehenduntur; quare etiam prisma, cuius basis est $EBZH$ parallelogrammum, ei autem opposita recta ΘK, maius est pyramide, cuius basis est triangulus AEH, uertex autem punctum Θ. prisma autem, cuius basis est parallelogrammum $EBZH$, ei autem opposita recta ΘK, aequale est prismati, cuius basis est triangulus $HZ\Gamma$, ei autem oppositus triangulus $\Theta K\Delta$; pyramis autem, cuius basis est triangulus AEH, uertex autem Θ punctum, aequalis est pyramidi, cuius basis est triangulus $\Theta K\Delta$, uertex autem Δ punctum. itaque duo illa prismata, quae nominauimus, maiora sunt duabus pyramidibus, quas nominauimus, quarum bases sunt trianguli AEH, $\Theta K\Delta$, uertices autem puncta Θ, Δ.

Ergo tota pyramis, cuius basis est $AB\Gamma$ triangulus, uertex autem punctum Δ, in duas pyramides inter se aequales diuisa est et in duo prismata aequalia, et duo prismata maiora sunt dimidio totius pyramidis; quod erat demonstrandum.

IV.

Datis duabus pyramidibus sub eadem altitudine et bases triangulas habentibus si utraque in duas pyramides inter se aequales totique similes et duo prismata aequalia diuiditur, erit ut basis alterius pyra-

20. μείζονα] ζ corr. ex β V. 23. ἐάν] -αν postea add. m. 1 P. ὦσιν B.

ἴσα, ἔσται ὡς ἡ τῆς μιᾶς πυραμίδος βάσις πρὸ τὴν τῆς ἑτέρας πυραμίδος βάσιν, οὕτως τὰ ἐ τῇ μιᾷ πυραμίδι πρίσματα πάντα πρὸς τὰ ἐν τ ἑτέρᾳ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ.

Ἔστωσαν δύο πυραμίδες ὑπὸ τὸ αὐτὸ ὕψος τριγα νους ἔχουσαι βάσεις τὰς ΑΒΓ, ΔΕΖ, κορυφὰς δ τὰ Η, Θ σημεῖα, καὶ διῃρήσθω ἑκατέρα αὐτῶν εἰ τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλ καὶ εἰς δύο πρίσματα ἴσα· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΑΒΙ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως τὰ ἐν τῇ ΑΒΓΙ πυραμίδι πρίσματα πάντα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυρα μίδι πρίσματα ἰσοπληθῆ.


Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ μὲν ΒΞ τῇ ΞΓ, ἡ δὲ Α. τῇ ΔΓ, παράλληλος ἄρα ἐστὶν ἡ ΔΞ τῇ ΑΒ κα ὅμοιον τὸ ΑΒΓ τρίγωνον τῷ ΔΞΓ τριγώνῳ. διὰ τ αὐτὰ δὴ καὶ τὸ ΔΕΖ τρίγωνον τῷ ΡΦΖ τριγών ὅμοιόν ἐστιν. καὶ ἐπεὶ διπλασίων ἐστὶν ἡ μὲν Β. τῆς ΓΞ, ἡ δὲ ΕΖ τῆς ΖΦ, ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸ τὴν ΓΞ, οὕτως ἡ ΕΖ πρὸς τὴν ΖΦ. καὶ ἀναγέγραπτι ἀπὸ μὲν τῶν ΒΓ, ΓΞ ὅμοιά τε καὶ ὁμοίως κείμει εὐθύγραμμα τὰ ΑΒΓ, ΔΞΓ, ἀπὸ δὲ τῶν ΕΖ, Ζ ὅμοιά τε καὶ ὁμοίως κείμενα [εὐθύγραμμα] τὰ ΔΕΖ

---

1. Post *ἴσα* add. Theon: *καὶ τῶν γενομένων* (*γεναμ.* : *πυραμίδων ἑκατέρα τὸν* (e corr. V) *αὐτὸν τρόπον, καὶ τοῦ ἀεὶ γίνηται* (*γίνεται* q) (BVq). *ἔσται — τῆς*] supra scr. ı 2 B (*ἔστιν*). 2. *ἑτέρας*] post *ρ* del. *ε* m. 1 P. *οὕτω* B 3. *πρίσματα — 4. πυραμίδι*] mg. m. 2 B. 4. *πάντ* om. V. 8. *ὁμοίως* V. 9. Post *ἴσα* add. *καὶ τῶν γεν μένων πυραμίδων ἑκατέρα τὸν αὐτὸν τρόπον νενοήσθω δι ρημένη καὶ τοῦτο ἀεὶ γινέσθω* Bq, V mg. m. 2. 10. *βάσι* om. V. *οὕτω* Bq. 13. *ΒΖ* q. 14. *ἐστίν*] om. V. 16. *ὅμοιόν ἐστι τῷ ΡΦΖ τριγωνῳ* BVq (*ΡΦ* in ras. V). 18. *ΓΞ*] corr. ex *ΞΓ* V. Post *δέ* ras. 1 litt. P. Ζ corr. ex *ΦΖ* V. 22. *εὐθύγραμμα*] om. P.

midis ad basim alterius, ita omnia prismata alterius pyramidis ad omnia prismata numero aequalia[1]) alterius pyramidis.

Sint duae pyramides sub eadem altitudine triangulas bases habentes $AB\Gamma$, $\varDelta EZ$, uertices autem H,



puncta, et utraque in duas pyramides inter se aequales tique similes et duo prismata aequalia diuidatur rop. III]. dico, esse ut $AB\Gamma : \varDelta EZ$, ita omnia ismata pyramidis $AB\Gamma H$ ad prismata numero qualia pyramidis $\varDelta EZ\Theta$.

Nam quoniam $B\Xi = \Xi\Gamma$, $A\Lambda = \Lambda\Gamma$ [prop. III], it $\Lambda\Xi$ rectae AB parallela et $AB\Gamma \sim \Lambda\Xi\Gamma$ [p. 152, 9]. idem de causa erit etiam $\varDelta EZ \sim P\Phi Z$. et quoniam $\Gamma = 2\Gamma\Xi$, $EZ = 2Z\Phi$, erit $B\Gamma : \Gamma\Xi = EZ : Z\Phi$. in $B\Gamma$, $\Gamma\Xi$ constructae sunt figurae rectilineae miles et similiter positae $AB\Gamma$, $\Lambda\Xi\Gamma$, in EZ, $Z\Phi$

---

1) πάντα et ἰσοπληθῆ addidit Euclides ad finem propo- ;ionis p. 160, 26 respiciens, ubi eam quasi quodam corol- rio dilatauit.

ΡΦΖ· ἔστιν ἄρα ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΞΓ τρίγωνον, οὕτως τὸ ΔΕΖ τρίγωνον πρὸς τὸ ΡΦΖ τρίγωνον· ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ [τρίγωνον], οὕτως τὸ ΔΞΓ [τρίγωνον] πρὸς τὸ ΡΦΖ τρίγωνον. ἀλλ' ὡς τὸ ΔΞΓ τρίγωνον πρὸς τὸ ΡΦΖ τρίγωνον, οὕτως τὸ πρίσμα, οὗ βάσις μέν [ἐστι] τὸ ΔΞΓ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΟΜΝ, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΡΦΖ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΣΤΥ· καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον, οὕτως τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΔΞΓ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΟΜΝ, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΡΦΖ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΣΤΥ. ὡς δὲ τὰ εἰρημένα πρίσματα πρὸς ἄλληλα, οὕτως τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΚΒΞΛ παραλληλόγραμμον, ἀπεναντίον δὲ ἡ ΟΜ εὐθεῖα, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΠΕΦΡ παραλληλόγραμμον, ἀπεναντίον δὲ ἡ ΣΤ εὐθεῖα. καὶ τὰ δύο ἄρα πρίσματα, οὗ τε βάσις μὲν τὸ ΚΒΞΛ παραλληλόγραμμον, ἀπεναντίον δὲ ἡ ΟΜ, καὶ οὗ βάσις μὲν τὸ ΔΞΓ, ἀπεναντίον δὲ τὸ ΟΜΝ, πρὸς τὰ πρίσματα, οὗ τε βάσις μὲν τὸ ΠΕΦΡ, ἀπεναντίον δὲ ἡ ΣΤ εὐθεῖα, καὶ οὗ βάσις μὲν τὸ ΡΦΖ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΣΤΥ. καὶ ὡς ἄρα ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως τὰ εἰρημένα δύο πρίσματα πρὸς τὰ εἰρημένα δύο πρίσματα.

Καὶ ὁμοίως, ἐὰν διαιρεθῶσιν αἱ ΟΜΝΗ, ΣΤΥΘ πυραμίδες εἴς τε δύο πρίσματα καὶ δύο πυραμίδας,

1. ΡΦΖ] Ρ e corr. V, ΕΦΖ q. 2. τρίγωνον] (prius) om. V. 4. τρίγωνον] (prius) om. P. τρίγωνον] (alt.) om. P. 6. οὕτω B. 7. ἐστι] om. P. ΟΜΝ τρίγωνον V. 8. μέν ἐστι V. 11. μέν ἐστι V. 12. τρίγωνον] supra comp. B 13. ὡς δέ — p. 162, 14] mutauit Theon; u. app.

autem similes et similiter positae ΔEZ, $P\Phi Z$. erit igitur [VI, 22]

$$AB\Gamma : A\Xi\Gamma = \Delta EZ : P\Phi Z.$$

itaque permutando $AB\Gamma : \Delta EZ = A\Xi\Gamma : P\Phi Z$ [V, 16]. sed ut $A\Xi\Gamma : P\Phi Z$, ita prisma, cuius basis est $A\Xi\Gamma$ triangulus, ei autem oppositus OMN, ad prisma, cuius basis est $P\Phi Z$ triangulus, ei autem oppositus $\Sigma T\Upsilon$ [u. lemma]. quare etiam ut $AB\Gamma : \Delta EZ$, ita prisma, cuius basis est $A\Xi\Gamma$ triangulus, ei autem oppositus OMN, ad prisma, cuius basis est $P\Phi Z$ triangulus, ei autem oppositus $\Sigma T\Upsilon$. uerum quam rationem habent duo prismata, quae diximus, eam habet prisma, cuius basis est parallelogrammum $KB\Xi\Lambda$, ei autem opposita recta OM, ad prisma, cuius basis est parallelogrammum $\Pi E\Phi P$, ei autem opposita recta ΣT [XI, 39; cfr. prop. III]. quare etiam duo prismata, et cuius basis est parallelogrammum $KB\Xi\Lambda$, ei autem opposita OM, et cuius basis est $A\Xi\Gamma$, ei autem oppositus OMN, ad duo prismata, et cuius basis est $\Pi E\Phi P$, ei autem opposita ΣT recta, et cuius basis est $P\Phi Z$ triangulus, ei autem oppositus $\Sigma T\Upsilon$, illam habent rationem [V, 12].[1] quare etiam ut $AB\Gamma : \Delta EZ$, ita duo prismata, quae diximus, ad duo prismata, quae diximus.

Et similiter, si pyramides $OMNH$, $\Sigma T\Upsilon\Theta$ in duo prismata duasque pyramides diuiduntur, erunt ut

1) Sint prismata $p\ p_1\ P\ P_1$. demonstrauimus $AB\Gamma : \Delta EZ = p : p_1$; $p : p_1 = P : P_1 = p + P : p_1 + P_1$. ergo

$$AB\Gamma : \Delta EZ = p + P : p_1 + P_1.$$

14. διὰ τὰ αὐτά mg. m. 1 P, qui ad lin. 8 adscr. hab. m. 1: ὡς εὐθὺς ἐρεῖ. 18. $KB\Xi B$, sed ΞB in ras. e corr. P.

ἔσται ὡς ἡ ΟΜΝ βάσις πρὸς τὴν ΣΤΥ βάσιν, οὕτως τὰ ἐν τῇ ΟΜΝΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΣΤΥΘ πυραμίδι δύο πρίσματα. ἀλλ' ὡς ἡ ΟΜΝ βάσις πρὸς τὴν ΣΤΥ βάσιν, οὕτως ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν· ἴσον γὰρ ἑκάτερον τῶν ΟΜΝ, ΣΤΥ τριγώνων ἑκατέρῳ τῶν ΛΞΓ, ΡΦΖ. καὶ ὡς ἄρα ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως τὰ τέσσαρα πρίσματα πρὸς τὰ τέσσαρα πρίσματα. ὁμοίως δὲ κἂν τὰς ὑπολειπομένας πυραμίδας διέλωμεν εἴς τε δύο πυραμίδας καὶ εἰς δύο πρίσματα, ἔσται ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι πρίσματα πάντα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ· ὅπερ ἔδει δεῖξαι.

Λῆμμα.

Ὅτι δέ ἐστιν ὡς τὸ ΛΞΓ τρίγωνον πρὸς τὸ ΡΦΖ τρίγωνον, οὕτως τὸ πρίσμα, οὗ βάσις τὸ ΛΞΓ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΟΜΝ, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΡΦΖ [τρίγωνον], ἀπεναντίον δὲ τὸ ΣΤΥ, οὕτω δεικτέον.

Ἐπὶ γὰρ τῆς αὐτῆς καταγραφῆς νενοήσθωσαν ἀπὸ τῶν Η, Θ κάθετοι ἐπὶ τὰ ΑΒΓ, ΔΕΖ ἐπίπεδα, ἴσαι δηλαδὴ τυγχάνουσαι διὰ τὸ ἰσοϋψεῖς ὑποκεῖσθαι τὰς πυραμίδας. καὶ ἐπεὶ δύο εὐθεῖαι ἥ τε ΗΓ καὶ ἡ ἀπὸ τοῦ Η κάθετος ὑπὸ παραλλήλων ἐπιπέδων τῶν ΑΒΓ, ΟΜΝ τέμνονται, εἰς τοὺς αὐτοὺς λόγους τμηθήσονται. καὶ τέτμηται ἡ ΗΓ δίχα ὑπὸ τοῦ ΟΜΝ ἐπιπέδου κατὰ τὸ Ν· καὶ ἡ ἀπὸ τοῦ Η ἄρα κάθετος ἐπὶ τὸ

---

15. λῆμμα] om. BV. 16. ΛΞΓ] Γ e corr. m. 2 V. ΖΡΦ P. 17. οὕτω B. 19. τρίγωνον om. P. ΥΣΤ τρί-

$OMN : \Sigma T \Upsilon$, ita duo prismata pyramidis $OMNH$ ad duo prismata pyramidis $\Sigma T \Upsilon \Theta$. sed $OMN : \Sigma T \Upsilon = AB\Gamma : \Delta EZ$; nam uterque triangulus OMN, $\Sigma T \Upsilon$ utrique triangulo $A\Xi\Gamma$, $P\Phi Z$ aequalis est. quare etiam ut $AB\Gamma : \Delta EZ$, ita quattuor prismata ad quattuor prismata [V, 12]. et similiter si etiam reliquas pyramides in duas pyramides duoque prismata diuiserimus, erunt ut $AB\Gamma : \Delta EZ$, ita omnia prismata pyramidis $AB\Gamma H$ ad omnia prismata pyramidis $\Delta EZ\Theta$ numero aequalia; quod erat demonstrandum.

Lemma.

uerum esse, ut $A\Xi\Gamma : P\Phi Z$, ita prisma, cuius basis sit triangulus $A\Xi\Gamma$, ei autem oppositus OMN, ad prisma, cuius basis sit $P\Phi Z$, ei autem oppositus $\Sigma T \Upsilon$, ita demonstrandum est.

In eadem enim figura fingantur perpendiculares a punctis H, Θ ad triangulos $AB\Gamma$, ΔEZ ductae, quae scilicet aequales sunt, quia supposuimus, pyramides aequales altitudines habere. et quoniam duae rectae $H\Gamma$ et perpendicularis ab H ducta planis parallelis $AB\Gamma$, OMN secantur, secundum eandem rationem secabuntur [XI, 17]. et $H\Gamma$ plano OMN in duas partes aequales secta est in N; quare etiam perpen-

γωνον V. 20. δείξομεν οὕτως V. οὕτω] -ς del. m. 1 P. 21. αἱ ἀπό BVq. 22. τῶν] τῆς B. τά] τὰ τῶν V. ΔEZ] ΔEZ τρίγωνα Bq; ΔEZ τριγώνων V. 23. ἰσοϋψεῖς] -εῖ- e corr. V. 24. ἡ] in ras. V.

ΑΒΓ ἐπίπεδον δίχα τμηθήσεται ὑπὸ τοῦ ΟΜΝ ἐπιπέδου. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ἀπὸ τοῦ Θ κάθετος ἐπὶ τὸ ΔΕΖ ἐπίπεδον δίχα τμηθήσεται ὑπὸ τοῦ ΣΤΥ ἐπιπέδου. καί εἰσιν ἴσαι αἱ ἀπὸ τῶν Η, Θ κάθετοι ἐπὶ τὰ ΑΒΓ, ΔΕΖ ἐπίπεδα· ἴσαι ἄρα καὶ αἱ ἀπὸ τῶν ΟΜΝ, ΣΤΥ τριγώνων ἐπὶ τὰ ΑΒΓ, ΔΕΖ κάθετοι. ἰσοϋψῆ ἄρα [ἐστὶ] τὰ πρίσματα, ὧν βάσεις μέν εἰσι τὰ ΛΞΓ, ΡΦΖ τρίγωνα, ἀπεναντίον δὲ τὰ ΟΜΝ, ΣΤΥ. ὥστε καὶ τὰ στερεὰ παραλληλεπίπεδα τὰ ἀπὸ τῶν εἰρημένων πρισμάτων ἀναγραφόμενα ἰσοϋψῆ καὶ πρὸς ἄλληλά [εἰσιν] ὡς αἱ βάσεις· καὶ τὰ ἡμίση ἄρα ἐστὶν ὡς ἡ ΛΞΓ βάσις πρὸς τὴν ΡΦΖ βάσιν, οὕτως τὰ εἰρημένα πρίσματα πρὸς ἄλληλα· ὅπερ ἔδει δεῖξαι.

ε'.

Αἱ ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ βάσεις.

Ἔστωσαν ὑπὸ τὸ αὐτὸ ὕψος πυραμίδες, ὧν βάσεις μὲν τὰ ΑΒΓ, ΔΕΖ τρίγωνα, κορυφαὶ δὲ τὰ Η, Θ σημεῖα· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα.

Εἰ γὰρ μή ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα, ἔσται ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως ἡ ΑΒΓΗ πυραμὶς ἤτοι πρὸς ἔλασσόν

---

1. *ἐπίπεδον ἀγομένη* V. 3. *ἐπίπεδον ἀγομένη* V. 5. *ἄρα εἰσί* V. *αἱ*] om. Pq. 7. *κάθετοι*] in ras. V, seq. *ras.* dimid. lin. (*ἴσαι . . . . ἀπὸ τῶν* $\overline{ομν}$). *ἐστί*] om. P.

dicularis ab H ad planum $AB\Gamma$ ducta plano OMN in duas partes aequales secabitur. eadem de causa etiam perpendicularis a Θ ad planum ΔEZ ducta in duas partes aequales secabitur plano $\Sigma T\Upsilon$. et perpendiculares ab H, Θ ad plana $AB\Gamma$, ΔEZ ductae aequales sunt. itaque etiam perpendiculares a triangulis OMN, $\Sigma T\Upsilon$ ad $AB\Gamma$, ΔEZ ductae aequales sunt. quare prismata, quorum bases sunt trianguli $A\Xi\Gamma$, $P\Phi Z$, iis autem oppositi OMN, $\Sigma T\Upsilon$, aequales altitudines habent. itaque solida parallelepipeda a prismatis, quae diximus, constructa eandem habent altitudinem et eam inter se rationem habent quam bases [XI, 32]. itaque etiam prismata, quae diximus, ut quae dimidia sint parallelepipedorum [XI, 28], eam rationem habent, quam $A\Xi\Gamma : P\Phi Z$; quod erat demonstrandum.[1])

V.

Pyramides sub eadem altitudine et bases triangulas habentes eam inter se rationem habent quam bases.

Sint pyramides sub eadem altitudine, quarum bases sint trianguli $AB\Gamma$, ΔEZ, uertices autem H, Θ puncta. dico esse

$$AB\Gamma : \Delta EZ = AB\Gamma H : \Delta EZ\Theta.$$

Nam si non est $AB\Gamma : \Delta EZ = AB\Gamma H : \Delta EZ\Theta$, erit ut $AB\Gamma : \Delta EZ$, ita pyramis $AB\Gamma H$ aut ad so-


1) Hoc quoque lemma et per se et propter orationis genus suspectum est.

βάσις Bq, sed corr. 11. *καί*] (prius) *τυγχάνοντα* Theon (BVq). *εἰσιν*] om. P. 12. *ἐστίν*] *ἔσται* BVq. 13. *οὕτω* Bq. 17. *αλληλα* P, corr. m. 2. 24. ΔEZ — 25. *τήν*] mg. m. 2 B. 25. $\Delta EZ\Theta$ *πυραμίδα*] *et in textu et mg. m. 2 B.* 27. ἤτοι] ἤ V.

τι τῆς $\varDelta EZ\Theta$ πυραμίδος στερεὸν ἢ πρὸς μεῖζον. ἔστω πρότερον πρὸς ἔλασσον τὸ X, καὶ διῃρήσθω ἡ $\varDelta EZ\Theta$ πυραμὶς εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα· τὰ δὴ δύο πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος. καὶ πάλιν αἱ ἐκ τῆς διαιρέσεως γινόμεναι πυραμίδες ὁμοίως διῃρήσθωσαν, καὶ τοῦτο ἀεὶ γινέσθω, ἕως οὗ λειφθῶσί τινες πυραμίδες ἀπὸ τῆς $\varDelta EZ\Theta$ πυραμίδος, αἵ εἰσιν ἐλάττονες τῆς ὑπεροχῆς, ᾗ ὑπερέχει ἡ $\varDelta EZ\Theta$ πυραμὶς τοῦ X στερεοῦ. λελείφθωσαν καὶ ἔστωσαν λόγου ἕνεκεν αἱ $\varDelta\Pi P\Sigma$, $\Sigma T\Upsilon\Theta$· λοιπὰ ἄρα τὰ ἐν τῇ $\varDelta EZ\Theta$ πυραμίδι πρίσματα μείζονά ἐστι τοῦ X στερεοῦ. διῃρήσθω καὶ ἡ $AB\Gamma H$ πυραμὶς ὁμοίως καὶ ἰσοπληθῶς τῇ $\varDelta EZ\Theta$ πυραμίδι· ἔστιν ἄρα ὡς ἡ $AB\Gamma$ βάσις πρὸς τὴν $\varDelta EZ$ βάσιν, οὕτως τὰ ἐν τῇ $AB\Gamma H$ πυραμίδι πρίσματα πρὸς τὰ ἐν τῇ $\varDelta EZ\Theta$ πυραμίδι πρίσματα. ἀλλὰ καὶ ὡς ἡ $AB\Gamma$ βάσις πρὸς τὴν $\varDelta EZ$ βάσιν, οὕτως ἡ $AB\Gamma H$ πυραμὶς πρὸς τὸ X στερεόν· καὶ ὡς ἄρα ἡ $AB\Gamma H$ πυραμὶς πρὸς τὸ X στερεόν, οὕτως τὰ ἐν τῇ $AB\Gamma H$ πυραμίδι πρίσματα πρὸς τὰ ἐν τῇ $\varDelta EZ\Theta$ πυραμίδι πρίσματα· ἐναλλὰξ ἄρα ὡς ἡ $AB\Gamma H$ πυραμὶς πρὸς τὰ ἐν αὐτῇ πρίσματ οὕτως τὸ X στερεὸν πρὸς τὰ ἐν τῇ $\varDelta EZ\Theta$ πυραμί πρίσματα. μείζων δὲ ἡ $AB\Gamma H$ πυραμὶς τῶν ἐν αὐτ πρισμάτων· μεῖζον ἄρα καὶ τὸ X στερεὸν τῶν ἐν τ $\varDelta EZ\Theta$ πυραμίδι πρισμάτων. ἀλλὰ καὶ ἔλαττον· ὅπε

6. γενόμεναι q. 7. γιγνέσθω BV. 8. λειφθῶσι] -ει corr. ex η V, mut. in η m. 1 Bq; λειφθῶσιν PB. ἀπό — 9. πυραμίδος] mg. m. 2 BV, om. q. 9. ἐλάσσους BVq. 10. λελείφθωσαν] -ει- corr. ex η V, mut. in η q. 11. $ET\Upsilon\Theta$ B corr. m. 2. 12. ἐστιν P. 17. ἡ] post ins. V. 19. καὶ ὡς — 20. στερεόν] om. q; suo loco m. 1, sed alio atrament

minus pyramide $\Delta EZ\Theta$ aut ad maius. sit prius nus X, et pyramis $\Delta EZ\Theta$ in duas pyramides se aequales totique similes et duo prismata lia diuidatur. itaque duo prismata maiora sunt dimidia totius pyramidis [prop. III]. et rursus ides ex diuisione ortae similiter diuidantur, et mper fiat, donec e pyramide $\Delta EZ\Theta$ relinquantur ides quaedam minores excessu, quo pyramis Θ excedit spatium X [X, 1]. relinquantur et erbi causa $\Delta\Pi P\Sigma$, $\Sigma T\Upsilon\Theta$. reliqua igitur prispyramidis $\Delta EZ\Theta$ maiora sunt spatio X. iam pyramis $AB\Gamma H$ similiter et toties diuidatur,



quoties $\Delta EZ\Theta$ pyramis. erunt igitur ut $AB\Gamma : \Delta EZ$, ita prismata pyramidis $AB\Gamma H$ ad prismata pyramidis $\Delta EZ\Theta$ [prop. IV]. uerum $AB\Gamma : \Delta EZ = AB\Gamma H : X$. quare etiam ut $AB\Gamma H : X$, ita prismata pyramidis $AB\Gamma H$ ad prismata pyramidis $\Delta EZ\Theta$. tando igitur [V, 16] ut pyramis $AB\Gamma H$ ad sua ita, ita X solidum ad prismata pyramidis $\Delta EZ\Theta$. ramis $AB\Gamma H$ maior est prismatis. itaque etiam dum maius est prismatis pyramidis $\Delta EZ\Theta$ [V, 14].

19. ἄρα ἡ] corr. ex ἡ ἄρα m. 1 V, ἄρα ὡς ἡ P.
ω B.

ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἐστὶν ὡς ἡ $ABΓ$ βάσις πρὸς τὴν $ΔEZ$ βάσιν, οὕτως ἡ $ABΓH$ πυραμὶς πρὸς ἔλασσόν τι τῆς $ΔEZΘ$ πυραμίδος στερεόν. ὁμοίως δὴ δειχθήσεται, ὅτι οὐδὲ ὡς ἡ $ΔEZ$ βάσις πρὸς τὴν $ABΓ$ βάσιν, οὕτως ἡ $ΔEZΘ$ πυραμὶς πρὸς ἔλαττόν τι τῆς $ABΓH$ πυραμίδος στερεόν.

Λέγω δή, ὅτι οὐκ ἔστιν οὐδὲ ὡς ἡ $ABΓ$ βάσις πρὸς τὴν $ΔEZ$ βάσιν, οὕτως ἡ $ABΓH$ πυραμὶς πρὸς μεῖζόν τι τῆς $ΔEZΘ$ πυραμίδος στερεόν.

Εἰ γὰρ δυνατόν, ἔστω πρὸς μεῖζον τὸ X· ἀνάπαλιν ἄρα ἐστὶν ὡς ἡ $ΔEZ$ βάσις πρὸς τὴν $ABΓ$ βάσιν, οὕτως τὸ X στερεὸν πρὸς τὴν $ABΓH$ πυραμίδα. ὡς δὲ τὸ X στερεὸν πρὸς τὴν $ABΓH$ πυραμίδα, οὕτως ἡ $ΔEZΘ$ πυραμὶς πρὸς ἔλασσόν τι τῆς $ABΓH$ πυραμίδος, ὡς ἔμπροσθεν ἐδείχθη· καὶ ὡς ἄρα ἡ $ΔEZ$ βάσις πρὸς τὴν $ABΓ$ βάσιν, οὕτως ἡ $ΔEZΘ$ πυραμὶς πρὸς ἔλασσόν τι τῆς $ABΓH$ πυραμίδος· ὅπερ ἄτοπον ἐδείχθη. οὐκ ἄρα ἐστὶν ὡς ἡ $ABΓ$ βάσις πρὸς τὴν $ΔEZ$ βάσιν, οὕτως ἡ $ABΓH$ πυραμὶς πρὸς μεῖζόν τι τῆς $ΔEZΘ$ πυραμίδος στερεόν. ἐδείχθη δέ, ὅτι οὐδὲ πρὸς ἔλασσον. ἔστιν ἄρα ὡς ἡ $ABΓ$ βάσις πρὸς τὴν $ΔEZ$ βάσιν, οὕτως ἡ $ABΓH$ πυραμὶς πρὸς τὴν $ΔEZΘ$ πυραμίδα· ὅπερ ἔδει δεῖξαι.


ς'.

Αἱ ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες καὶ πολυγώνους ἔχουσαι βάσεις πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ βάσεις.

---

2. ἔλαττον V. 3. $ΔEZΘ$] Θ eras. P; $ΔEZHΘ$ q. δείξομεν V. 5. ἔλασσον B. 11. ἡ βάσις ἡ $ΔEZ$ Vq.

uerum etiam minus est; quod fieri non potest. erg non est ut $AB\Gamma : \Delta EZ$, ita pyramis $AB\Gamma H$ ad m nus aliquod pyramide $\Delta EZ\Theta$ solidum. similiter d monstrabimus, ne $\Delta EZ\Theta$ quide: pyramidem ad minus aliquod pyr mide $AB\Gamma H$ solidum eam ratione: habere quam $\Delta EZ : AB\Gamma$.



Iam dico, ne ad maius quidem aliquod pyrami $\Delta EZ\Theta$ solidum pyramidem $AB\Gamma H$ eam rationem h bere quam $AB\Gamma : \Delta EZ$.

Nam si fieri potest, habeat ad maius aliquod . e contrario igitur [V, 7 coroll.]

$$\Delta EZ : AB\Gamma = X : AB\Gamma H.$$

uerum ut $X : AB\Gamma H$, ita $\Delta EZ\Theta$ pyramis ad min aliquid pyramide $AB\Gamma H$, ut supra demonstratum e [prop. II lemma]. quare etiam ut $\Delta EZ : AB\Gamma$, i pyramis $\Delta EZ\Theta$ ad minus aliquid pyramide $AB\Gamma$ quod absurdum esse demonstrauimus. itaque ne maius quidem aliquod pyramide $\Delta EZ\Theta$ solidum p ramis $AB\Gamma H$ eam rationem habet quam $AB\Gamma : \Delta E$ demonstrauimus autem, eam ne ad minus quide hanc habere rationem. erit igitur

$$AB\Gamma : \Delta EZ = AB\Gamma H : \Delta EZ\Theta;$$

quod erat demonstrandum.

VI.

Pyramides sub eadem altitudine et polygonas bas habentes eam inter se rationem habent quam bas

---

17. πυραμίδος στερεόν q; στερεόν add. m. 2 V. 21. βά supra scr. m. 1 P. 25. πυραμίδες οὖσαι B. οὐ

Ἔστωσαν ὑπὸ τὸ αὐτὸ ὕψος πυραμίδες, ὧν [αἱ] βάσεις μὲν τὰ ΑΒΓΔΕ, ΖΗΘΚΛ πολύγωνα, κορυφαὶ δὲ τὰ Μ, Ν σημεῖα· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΑΒΓΔΕ βάσις πρὸς τὴν ΖΗΘΚΛ βάσιν, οὕτως ἡ ΑΒΓΔΕΜ πυραμὶς πρὸς τὴν ΖΗΘΚΛΝ πυραμίδα.

τοῦ ἐν αὐτῷ πολυγώνου· μεῖζον ἄρα καὶ τὸ Φ χωρίον τοῦ ΕΚΖΛΗΜΘΝ πολυγώνου. ἀλλὰ μὴν καὶ ἔλασσον τὸ Φ· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ τετράγωνον, οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς ἔλασσόν τι τοῦ ΕΖΗΘ κύκλου χωρίον.

λέγω δή, ὅτι οὐδὲ πρὸς μεῖζον. εἰ γὰρ δυνατόν, ἔστω πρὸς τὸ Φ. ἀνάπαλιν ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΖΘ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΔΒ τετράγωνον, οὕτως τὸ Φ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον. ὡς δὲ τὸ Φ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον, οὕτως ὁ ΕΖΗΘ κύκλος πρὸς ἔλασσόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον· ὡς ἄρα τὸ ἀπὸ τῆς ΖΘ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΔΒ τετράγωνον, οὕτως ὁ ΕΖΗΘ κύκλος πρὸς ἔλασσόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον· ὅπερ ἀδύνατον δέδεικται. οὐκ ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ τετράγωνον, οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς μεῖζόν τι τοῦ ΕΖΗΘ κύκλου χωρίον. ἐδείχθη δέ, ὅτι οὐδὲ πρὸς ἔλασσον. ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ τετράγωνον, οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον.

Πᾶσα πυραμὶς τρίγωνον ἔχουσα βάσιν διαιρεῖται 3
εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα, καὶ τὰ δύο πρίσματα τῆς ὅλης πυραμίδος μείζονά ἐστιν ἢ τὸ ἥμισυ.

ἔστω πυραμίς, ἧς βάσις μὲν ἔστω τὸ ΑΒΓ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον. λέγω, ὅτι ἡ ΑΒΓΔ πυραμὶς διαιρεῖται εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα.

τετμήσθωσαν αἱ πλευραὶ τῆς πυραμίδος δίχα κατὰ τὰ Ε, Ζ, Η, Θ, Κ, Λ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΖ, ΖΗ, ΕΗ, ΗΛ, ΖΘ, ΘΚ, ΚΛ, ΛΘ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΖ τῇ ΖΔ, ἡ δὲ ΒΘ τῇ ΘΔ, παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΖΘ. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΕ τῇ ΕΒ, ἡ δὲ ΑΖ τῇ ΖΔ, παράλληλος ἄρα ἐστὶν ἡ ΒΔ τῇ ΕΖ. παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΕΒΖΘ. ἴση ἄρα ἐστὶν ἡ μὲν ΕΒ τῇ ΖΘ, ἡ δὲ ΕΖ τῇ ΒΘ. ἀλλ' ἡ μὲν ΒΕ τῇ ΕΑ ἐστιν ἴση, ἡ δὲ ΒΘ τῇ ΘΔ. καὶ ἡ μὲν ΑΕ ἄρα τῇ ΖΘ ἐστιν ἴση, ἡ δὲ ΕΖ τῇ ΘΔ. ἔστι δὲ καὶ ἡ ΑΖ τῇ ΖΔ ἴση. ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ ΑΕΖ τρίγωνον τῷ ΖΘΔ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΖΘ τρίγωνον τῷ ΖΔΚ τριγώνῳ ἴσον τε καὶ ὅμοιόν ἐστιν. τὸ δὲ ΑΕΗ τρίγωνον τῷ ΖΘΚ τριγώνῳ ἴσον τε καὶ ὅμοιόν ἐστιν. καὶ ἐπεὶ δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΕΖ, ΖΗ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΘΔ, ΔΚ κεῖνται μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι, ἴσας γωνίας περιέξουσιν. ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΕΖΗ γωνία τῇ ὑπὸ ΘΔΚ γωνίᾳ. ἐπεὶ οὖν δύο αἱ ΕΖ, ΖΗ δυσὶ ταῖς ΘΔ, ΔΚ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΕΖΗ γωνίᾳ τῇ ὑπὸ ΘΔΚ ἴση ἐστίν, βάσις ἄρα ἡ ΕΗ βάσει τῇ ΘΚ ἐστιν ἴση. ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ ΕΖΗ τρίγωνον τῷ ΘΔΚ τριγώνῳ. καὶ πυραμὶς ἄρα, ἧς μέν ἐστι τὸ ΑΕΗ τρίγωνον, κορυφὴ δὲ τὸ Ζ σημεῖον, ἴση τε καὶ ὁμοία ἐστὶ τῇ πυραμίδι τῇ βάσιν μὲν ἐχούσῃ τὸ ΑΒΓ τρίγωνον, κορυφὴν δὲ τὸ Δ σημεῖον. καὶ ἡ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ ΑΕΗ τρίγωνον, κορυφὴ δὲ τὸ Ζ σημεῖον, ὁμοία ἐστὶ τῇ πυραμίδι τῇ βάσιν μὲν ἐχούσῃ τὸ ΑΒΓ τρίγωνον, κορυφὴν δὲ τὸ Δ σημεῖον. διή-

ρηται ἄρα ἡ ΑΒΓΔ πυραμὶς εἰς δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ.

λέγω δή, ὅτι καὶ εἰς δύο πρίσματα ἴσα. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΒΛ τῇ ΛΓ, διπλάσιόν ἐστι τὸ ΕΗΛΒ παραλληλόγραμμον τοῦ ΗΛΓ τριγώνου. καὶ ἐπεὶ δέδεικται, ὅτι, ἐὰν δύο πρίσματα ὑπὸ τὸ αὐτὸ ὕψος, καὶ τὸ μὲν ἔχει βάσιν παραλληλόγραμμον, τὸ δὲ τρίγωνον, ᾖ δὲ διπλάσιον τὸ παραλληλόγραμμον τοῦ τριγώνου, ἴσα ἔσται τὰ πρίσματα, τὸ ἄρα πρίσμα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν ΘΒΛ, ΕΖΗ, τριῶν δὲ παραλληλογράμμων τοῦ ΕΒΖΘ καὶ τοῦ ΕΒΛΗ καὶ ἔτι τοῦ ΖΘΛΗ ἴσον ἐστὶ τῷ πρίσματι τῷ περιεχομένῳ ὑπὸ δύο μὲν τριγώνων τῶν ΗΓΛ, ΖΘΚ, τριῶν δὲ παραλληλογράμμων τῶν ΚΖΗΓ, ΛΓΘΚ, ΖΗΛΘ. διήρηται ἄρα ἡ ΑΒΓΔ πυραμὶς εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα, καὶ φανερόν, ὅτι τὰ δύο πρίσματα ἴσα ἐστὶν ᾗ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος :—

Ἐὰν ὦσι δύο πυραμίδες ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι 4
καὶ τριγώνους ἔχουσαι βάσεις, διαιρεθῇ δὲ ἑκατέρα αὐτῶν εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα, ἔσται ὡς ἡ τῆς μιᾶς πυραμίδος βάσις πρὸς τὴν τῆς ἑτέρας πυραμίδος βάσιν, οὕτως τὰ ἐν τῇ μιᾷ πυραμίδι πρίσματα πάντα πρὸς τὰ ἐν τῇ ἑτέρᾳ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ.

ἔστωσαν δύο πυραμίδες ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι καὶ τριγώνους ἔχουσαι βάσεις τὰς ΑΒΓ, ΜΝΞ, κορυφὰς δὲ τὰ Δ, Ο σημεῖα, καὶ διῃρήσθω ἑκατέρα αὐτῶν εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας

τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα. λέγω, ὅτι ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως τὰ ἐν τῇ ΑΒΓΔ πυραμίδι πρίσματα πάντα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ.

ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΛΗ, ὅμοιόν ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΛΗΓ τριγώνῳ. τὸ ΑΒΓ ἄρα τρίγωνον πρὸς τὸ ΛΗΓ τρίγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΝΞ πρὸς τὴν ΞΦ. καί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΓΛ, οὕτως ἡ ΝΞ πρὸς τὴν ΞΦ. καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΛΗΓ τρίγωνον, οὕτως τὸ ΜΝΞ τρίγωνον πρὸς τὸ ΣΦΞ τρίγωνον. ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΜΝΞ, οὕτως τὸ ΗΛΓ τρίγωνον πρὸς τὸ ΣΦΞ τρίγωνον, οὕτως τὸ πρίσμα, οὗ ἀπεναντίον ἐστὶ τὰ ΛΗΓ, ΖΘΚ ἐπίπεδα, πρὸς τὸ πρίσμα, οὗ ἀπεναντίον ἐστὶ τὰ ΣΦΞ, ΡΤΝ ἐπίπεδα. ὡς ἄρα ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως τὸ πρίσμα, οὗ ἀπεναντίον ἐστὶ τὰ ΛΗΓ, ΖΘΚ ἐπίπεδα, πρὸς τὸ πρίσμα, οὗ ἀπεναντίον ἐστὶ τὰ ΣΦΞ, ΡΥΤ ἐπίπεδα. ἀλλὰ τὰ μὲν ἐν τῇ ΑΒΓΔ πυραμίδι πρίσματα διπλάσιά ἐστι τοῦ πρίσματος, οὗ ἀπεναντίον ἐστὶ τὰ ΛΗΓ, ΖΘΚ ἐπίπεδα. τὰ δ' ἐν τῇ ΜΝΞΟ πυραμίδι πρίσματα διπλάσιά ἐστι τοῦ πρίσματος, οὗ ἀπεναντίον ἐστὶ τὰ ΣΦΞ, ΡΤΥ ἐπίπεδα. ὡς ἄρα ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως τὰ ἐν τῇ ΑΒΓΔ πυραμίδι πρίσματα πρὸς τὰ ἐν τῇ ΜΝΞΟ πυραμίδι πρίσματα. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ ΑΕΗ βάσις πρὸς τὴν ΜΠΣ βάσιν, οὕτως τὰ ἐν τῇ ΑΕΗΖ πυραμίδι πρίσματα πρὸς τὰ ἐν τῇ ΜΠΣΡ πυραμίδι πρίσματα. ὡς δὲ ἡ ΖΘΚ βάσις πρὸς τὴν ΤΡΥ βάσιν, οὕτως τὰ ἐν τῇ ΖΘΚΔ πυραμίδι πρίσματα πρὸς τὰ ἐν τῇ ΡΤΥΟ

πυραμίδι πρίσματα. ἔσται ἄρα ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα. ἔστιν ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως τὰ ἐν τῇ ΑΒΓΔ πυραμίδι πρίσματα πρὸς τὰ ἐν τῇ ΜΝΞΟ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ.

Αἱ ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ βάσεις.

ἔστωσαν ὑπὸ τὸ αὐτὸ ὕψος πυραμίδες τριγώνους ἔχουσαι βάσεις τὰς ΑΒΓ, ΜΝΞ αἱ ΑΒΓΔ, ΜΝΞΟ, κορυφὰς δὲ τὰ Δ, Ο σημεῖα. λέγω, ὅτι ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως ἡ ΑΒΓΔ πυραμὶς πρὸς τὴν ΜΝΞΟ πυραμίδα.

εἰ γὰρ μή ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως ἡ ΑΒΓΔ πυραμὶς πρὸς τὴν ΜΝΞΟ πυραμίδα, ἔσται ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως ἡ ΑΒΓΔ πυραμὶς ἤτοι πρὸς ἔλαττόν τι τῆς ΜΝΞΟ πυραμίδος στερεὸν ἢ πρὸς μεῖζον. ἔστω πρὸς ἔλαττον τὸ Ω, καὶ τῇ ΜΝΞΟ πυραμίδι ἴσα ἔστω τὰ Ω, Χ χωρία, καὶ διῃρήσθω ἡ ΜΝΞΟ πυραμὶς εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα. μείζονα ἄρα ἐστὶ τὰ πρίσματα τῆς ὅλης πυραμίδος ἢ τὸ ἥμισυ. τέμνοντες δὴ τὰς ὑπολειπομένας πυραμίδας εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα λήψομέν τινας πυραμίδας ἀπὸ τῆς ὅλης πυραμίδος, αἳ ἔσονται ἐλάσσονες τοῦ Χ στερεοῦ. λελήφθωσαν καὶ ἔστωσαν αἱ ΜΠΣΡ, ΤΥΟ. ἐπεὶ οὖν ἡ πυραμὶς ἴση ἐστὶ τοῖς στερεοῖς εἰς τὰ καταλελημμένα ἀποτμήματα ἐλάσσονά εἰσι τοῦ Χ. λοιπὰ ἄρα τὰ ἐν

τῇ ΜΝΞΟ πυραμίδι πρίσματα μείζονά ἐστι τοῦ Ω στερεοῦ. διῃρήσθω ἡ ΑΒΓΔ πυραμὶς ὁμοίως τῇ ΜΝΞΟ πυραμίδι. καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως τὰ ἐν τῇ πυραμίδι τῇ ΑΒΓΔ πρίσματα πάντα πρὸς τὰ ἐν τῇ ΜΝΞΟ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ, ὡς ἄρα ἡ ΑΒΓΔ πυραμὶς πρὸς τὸ Ω στερεόν, οὕτως τὰ ἐν τῇ ΑΒΓΔ πυραμίδι πρίσματα πάντα πρὸς τὰ ἐν τῇ ΜΝΞΟ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ ΑΒΓΔ πυραμὶς πρὸς τὰ ἐν αὐτῇ πρίσματα πάντα, οὕτως τὸ Ω στερεὸν πρὸς τὰ ἐν τῇ ΜΝΞΟ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ. μείζων δὲ ἡ ΑΒΓΔ πυραμὶς τῶν ἐν αὐτῇ πρισμάτων πάντων. μεῖζον ἄρα καὶ τὸ Ω στερεὸν τῶν ἐν τῇ ΜΝΞΟ πυραμίδι πρισμάτων πάντων. ἀλλὰ καὶ ἔλαττον· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως ἡ ΑΒΓΔ πυραμὶς πρὸς ἔλαττόν τι τῆς ΜΝΞΟ πυραμίδος στερεόν.

λέγω δή, ὅτι οὐδὲ πρὸς μεῖζον. εἰ γὰρ δυνατόν, ἔστω πρὸς τὸ Ω. ἀνάπαλιν ἄρα ἐστὶν ὡς ἡ ΜΝΞ βάσις πρὸς τὴν ΑΒΓ βάσιν, οὕτως τὸ Ω στερεὸν πρὸς τὴν ΑΒΓΔ πυραμίδα. ὡς δὲ τὸ Ω στερεὸν πρὸς τὴν ΑΒΓΔ πυραμίδα, οὕτως ἡ ΜΝΞΟ πυραμὶς πρὸς ἔλαττόν τι τῆς ΑΒΓΔ πυραμίδος στερεόν. ὡς ἄρα ἡ ΜΝΞ βάσις πρὸς τὴν ΑΒΓ βάσιν, οὕτως ἡ ΜΝΞΟ πυραμὶς πρὸς ἔλαττόν τι τῆς ΑΒΓΔ πυραμίδος στερεόν· ὅπερ ἀδύνατον δέδεικται. οὐκ ἄρα ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως ἡ ΑΒΓΔ πυραμὶς πρὸς μεῖζόν τι τῆς ΜΝΞΟ πυραμίδος στερεόν. ἐδείχθη δέ, ὅτι οὐδὲ πρὸς ἔλαττον. ἔστιν ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως η

ΑΒΓΔ πυραμὶς πρὸς τὴν ΜΝΞΟ πυραμίδα· ὅπερ ἔδει δεῖξαι.

Πᾶν πρίσμα τρίγωνον ἔχον βάσιν διαιρεῖται εἰς τρεῖς πυραμίδας ἴσας ἀλλήλαις τριγώνους βάσεις ἐχούσας. 6

ἔστω πρίσμα τὸ ΑΒΓΔΕΖ τρίγωνον ἔχον βάσιν τὴν ΓΖΔ. λέγω, ὅτι τὸ ΑΒΓΔΕΖ πρίσμα διαιρεῖται εἰς τρεῖς πυραμίδας ἴσας ἀλλήλαις τριγώνους βάσεις ἐχούσας. ἐπεξεύχθωσαν γὰρ αἱ ΒΔ, ΒΖ, ΖΕ. ἡ ἄρα πυραμίς, ἧς βάσις μέν ἐστι τὸ ΓΒΔ τρίγωνον, κορυφὴ δὲ τὸ Ζ σημεῖον, ἴση ἐστὶ τῇ πυραμίδι τῇ βάσιν μὲν ἐχούσῃ τὸ ΒΔΕ τρίγωνον, κορυφὴν δὲ τὸ Ζ σημεῖον, ἴση ἐστὶ τῇ πυραμίδι τῇ βάσιν μὲν ἐχούσῃ τὸ ΑΕΖ τρίγωνον, κορυφὴν δὲ τὸ Ζ σημεῖον. καὶ ἡ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ ΒΓΔ τρίγωνον, κορυφὴ δὲ τὸ Ζ σημεῖον, ἴση ἐστὶ τῇ πυραμίδι τῇ βάσιν μὲν ἐχούσῃ τὸ ΑΕΖ τρίγωνον, κορυφὴν δὲ τὸ Β σημεῖον. διῄρηται ἄρα τὸ ΑΒΓΔΕΖ πρίσμα εἰς τρεῖς πυραμίδας ἴσας ἀλλήλαις, ὧν βάσεις μέν εἰσιν ΑΒΓΔ, ΕΑΕΖ, κορυφὴ δὲ τὰ Β, Ζ σημεῖα.

Τῶν ἴσων πυραμίδων καὶ τριγώνους βάσεις ἐχουσῶν ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι. καὶ ὧν πυραμίδων τριγώνους βάσεις ἐχουσῶν ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ἴσαι εἰσὶν ἐκεῖναι. 7

ἔστωσαν ἴσαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις τὰς ΑΒΓ, ΕΖΗ αἱ ΑΒΓΔ, ΕΖΗΘ, κορυφὰς δὲ τὰ Δ, Θ σημεῖα. λέγω, ὅτι τῶν ΑΒΓΔ, ΕΖΗΘ πυραμίδων τριγώνων βάσιν ἐχουσῶν ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι. συμπεπληρώσθω γὰρ τὰ ΒΔΜΛ, ΖΘΡΘ στερεά. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒΓΔ πυραμὶς

τῇ ΕΖΗΘ πυραμίδι, καί ἐστι τῆς μὲν ΑΒΓΔ πυραμίδος ἑξαπλάσιον τὸ ΒΔΜΛ στερεόν, τῆς δὲ ΕΖΗΘ ἑξαπλάσιον τὸ ΖΘΡΟ στερεόν, ἴσον ἄρα ἐστὶ τὸ ΒΔΜΛ στερεὸν τῷ ΖΘΡΟ στερεῷ. τῶν δὲ ἴσων στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν· ἔστιν ἄρα ὡς ἡ ΒΜ βάσις πρὸς τὴν ΖΡ βάσιν, οὕτως τὸ τοῦ ΟΡΘΖ στερεοῦ ὕψος. ὡς δὲ ἡ ΒΜ βάσις πρὸς τὴν ΖΡ βάσιν, οὕτως ἡ ΑΒΓ βάσις πρὸς τὴν ΕΖΗ βάσιν. ὡς ἄρα ἡ ΑΒΓ βάσις πρὸς τὴν ΕΖΗ βάσιν, οὕτως τὸ τοῦ ΟΡΘΖ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΛΜΔΒ στερεοῦ ὕψος. τὰ δ' αὐτὰ ὕψη ἐστὶ τῶν τε ΒΔΜΛ, ΖΘΡΟ στερεῶν καὶ τῶν ΑΒΓΔ, ΕΖΗΘ πυραμίδων. ἔστιν ἄρα ὡς ἡ ΑΒΓ πρὸς τὴν ΕΖΗ βάσιν, οὕτως τὸ ἀπὸ τῆς ΕΖΗΘ πυραμίδος ὕψος τῶν ΑΒΓΔ, ΕΖΗΘ πρὸς τὸ τῆς ΑΒΓΔ πυραμίδος ὕψος. τῶν ΑΒΓΔ, ΕΖΗΘ ἄρα πυραμίδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν. I

ἀντιπεπονθέτωσαν δὴ πάλιν τῶν ΑΒΓΔ, ΕΖΗΘ πυραμίδων αἱ βάσεις τοῖς ὕψεσι, καὶ ἔστω ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΕΖΗ βάσιν, οὕτως τὸ τῆς ΕΖΗΘ πυραμίδος ὕψος πρὸς τὸ τῆς ΑΒΓΔ πυραμίδος ὕψος. λέγω, ὅτι ἐστὶν ἴση ἡ ΑΒΓΔ πυραμὶς τῇ ΕΖΗΘ πυραμίδι· τῶν γὰρ αὐτῶν κατασκευασθέντων ἐπεί ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΕΖΗ βάσιν, οὕτως τὸ τῆς ΕΖΗΘ ὕψος πρὸς τὸ τῆς ΑΒΓΔ πυραμίδος ὕψος, ὡς δὲ ἡ ΑΒΓ βάσις πρὸς τὴν ΕΖΗ βάσιν, οὕτως ἡ ΒΜ βάσις πρὸς τὴν ΖΡ βάσιν, οὕτως τὸ τῆς ΕΖΗΘ πυραμίδος ὕψος πρὸς τὸ τῆς ΑΒΓΔ πυραμίδος ὕψος. τὰ δ' αὐτὰ ὕψη ἐστὶ τῶν τε ΑΒΓΔ, ΕΖΗΘ πυραμίδων καὶ τῶν ΒΔΜΛ, ΖΘΡΟ στερεῶν. ἔστιν ἄρα ὡς ἡ ΒΜ βάσις πρὸς τὴν ΖΡ *βάσιν, οὕτως*

τὸ τοῦ ΖΘΡΟ στερεοῦ ὕψος. ὧν δὲ στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ἴσα ἐστὶν ἐκεῖνα. ἴσον ἄρα ἐστὶ τὸ ΒΔΜΛ στερεὸν τῷ ΖΘΡΟ στερεῷ. καί ἐστι τοῦ μὲν ΒΔΜΛ στερεοῦ ἕκτον μέρος ἡ ΕΖΗΘ, ΑΒΓΔ πυραμίς, τοῦ δὲ ΖΘΡΟ στερεοῦ ἕκτον μέρος ἡ ΕΖΗΘ πυραμίς. ἴση ἄρα ἐστὶν ἡ ΑΒΓΔ πυραμὶς τῇ ΕΖΗΘ πυραμίδι. ὅπερ ἔδει δεῖξαι.

Αἱ ὅμοιαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις ε
πρὸς ἀλλήλας ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν.

ἔστωσαν ὅμοιαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις τὰς ΑΒΓ, ΕΖΗ αἱ ΑΒΓΔ, ΕΖΗΘ, κορυφὰς δὲ τὰ Δ, Θ σημεῖα, καὶ ἔστω ἴση ἡ μὲν ὑπὸ τῶν ΑΒ, ΒΓ γωνία τῇ ὑπὸ τῶν ΕΖ, ΖΗ γωνίᾳ, ἡ δὲ ὑπὸ τῶν ΑΒ, ΒΔ τῇ ὑπὸ τῶν ΕΖ, ΖΘ. καὶ ἐπεὶ ἡ ὑπὸ τῶν ΑΒ, ΒΓ τῇ ὑπὸ τῶν ΘΖ, ΖΗ, ὁμόλογος δὲ ἔστω ἡ ΒΓ τῇ ΖΗ. λέγω, ὅτι ἡ ΑΒΓΔ πυραμὶς πρὸς τὴν ΕΖΗΘ πυραμίδα τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΖΗ.

συμπεπληρώσθωσαν γὰρ τὰ ΒΔΜΛ, ΖΘΡΟ στερεά. ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΒΛ, οὕτως ἡ ΖΗ πρὸς τὴν ΖΕ, καὶ περὶ ἴσας γωνίας τὰς ὑπὸ τῶν ΑΒ, ΒΓ, ΕΖ, ΖΗ αἱ πλευραὶ ἀνάλογόν εἰσιν, ὅμοιον ἄρα ἐστὶ τὸ ΒΜ παραλληλόγραμμον τῷ ΖΡ παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν ΑΔ τῷ ΕΘ ὅμοιόν ἐστι, τὸ δὲ ΝΒ τῷ ΖΠ. ἀλλὰ τὰ μὲν ΒΝ, ΑΔ, ΒΜ τὰ τρία τοῖς ἀπεναντίον αὐτῶν τοῖς ΛΔ, ΜΝ, ΑΛ ἴσα ἐστί, τὰ δὲ ΖΡ, ΕΘ, ΠΖ τὰ τρία τοῖς ἀπεναντίον αὐτῶν τοῖς ΘΟ, ΕΟ, ΡΠ ἴσα ἐστίν. ὅλον ἄρα το

ΒΔΜΛ στερεὸν ὅλῳ τῷ ΖΘΡΟ στερεῷ ὅμοιόν ἐστι. τὰ δὲ ὅμοια στερεὰ παραλληλεπίπεδα πρὸς ἄλληλα ἐν τριπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν. τὸ ΒΔΜΛ ἄρα στερεὸν πρὸς τὸ ΖΘΡΟ στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΖΗ. καί ἐστι τοῦ μὲν ΒΔΜΛ στερεοῦ ἕκτον μέρος ἡ ΑΒΓ πυραμὶς τοῦ ΖΘΡΟ στερεοῦ ἕκτον μέρος ἡ ΕΖΗΘ πυραμίς· καὶ ἡ ΑΒΓΔ ἄρα πυραμὶς πρὸς τὴν ΕΖΗΘ πυραμίδα τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΖΗ.

---

9 *Πᾶς κῶνος κυλίνδρου τρίτον μέρος ἐστὶ τοῦ τὴν αὐτὴν βάσιν ἔχοντος καὶ ὕψος ἴσον.*

ἐχέτω γὰρ κῶνος κυλίνδρῳ βάσιν τὴν αὐτὴν τὸν ΑΒΓΔ κύκλον καὶ ὕψος ἴσον. λέγω, ὅτι τριπλάσιός ἐστιν ὁ κύλινδρος τοῦ κώνου.

εἰ γὰρ μή ἐστιν ὁ κύλινδρος τοῦ κώνου τριπλάσιος, ἔσται ἄρα ἤτοι μείζων ἢ τριπλάσιος ἢ ἐλάσσων ἢ τριπλάσιος. ἔστω πρότερον ὁ κύλινδρος τοῦ κώνου μείζων ἢ τριπλάσιος τῷ ΡΣ στερεῷ. καὶ ἐγγεγράφθω εἰς τὸν ΑΒΓΔ κύκλον τετράγωνον τὸ ΑΒΓΔ, καὶ ἀνεστάτω ἀπὸ τοῦ ΑΒΓΔ τετραγώνου πρίσμα ἰσουψὲς τῷ κυλίνδρῳ. τὸ ἄρα ἀνεσταμένον πρίσμα μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ κυλίνδρου. τετμήσθωσαν αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΑ περιφέρειαι δίχα κατὰ τὰ Ε, Ζ, Η, Θ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΑ, ΕΒ, ΒΖ, ΖΓ, ΓΗ, ΗΔ, ΔΘ, ΘΑ, καὶ ἀνεστάτω ἀφ' ἑκάστου τῶν ΔΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ τριγώνων πρίσματα ἰσουψὲς τῷ κυλίνδρῳ. ἕκαστον ἀνασταμένων πρισμάτων μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ καθ' αὐτὸ τμήματος καὶ κυλίνδρου. τοιαύτης δὴ γινομένης ἀεὶ ἐπισκέψεως ληφθήσεταί τινα τμήματα ἀπὸ τοῦ ὅλου κυλίνδρου, ἃ ἔσται

ἐλάττονα τοῦ Ρ στερεοῦ. λελήφθω καὶ ἔστω τὰ ἐπὶ τῶν ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ. λοιπὸν ἄρα τὸ πρίσμα, οὗ βάσις μέν ἐστι τὸ ΑΕΒΖΓΗΔΘ πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, μεῖζόν ἐστιν ἢ τριπλάσιον τοῦ κώνου τοῦ βάσιν μὲν ἔχοντος τὸν ΑΒΓΔ κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ. ἀλλὰ τὸ πρίσμα, οὗ βάσις μέν ἐστι τὸ ΑΕΒΖΓΗΔΘ πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, τριπλάσιόν ἐστι τῆς πυραμίδος τῆς βάσιν μὲν ἐχούσης τὸ ΑΕΒΖΓΗΔΘ πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ. καὶ ἡ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ ΑΕΒΖΓΗΔΘ πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, μεῖζόν ἐστι τοῦ κώνου τοῦ βάσιν μὲν ἔχοντος τὸν ΑΒΓΔ κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ. ἀλλὰ καὶ ἐμπεριέχεται ἐν αὐτῷ· ὅπερ ἀδύνατον. οὐκ ἄρα ὁ κύλινδρος τοῦ κώνου μείζων ἐστὶν ἢ τριπλάσιος.

λέγω δή, ὅτι οὐδὲ ἐλάσσων ἢ τριπλάσιος.

εἰ γὰρ δυνατόν, ἔστω. ἀνάπαλιν ἄρα ὁ κῶνος τοῦ κυλίνδρου μείζων ἐστὶν ἢ τρίτον μέρος τῷ Ρ στερεῷ, καὶ ἐγγεγράφθω εἰς τὸν ΑΒΓΔ κύκλον τετράγωνον τὸ ΑΒΓΔ, καὶ ἀνεστάτω ἀπὸ τοῦ ΑΒΓΔ τετραγώνου πυραμὶς ἰσοϋψὴς τῷ κώνῳ. ἡ ἄρα ἀνεσταμένη πυραμὶς μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ κώνου. τετμήσθωσαν αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΑ περιφέρειαι δίχα κατὰ τὸ ΕΖΗΘ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΑΕ, ΕΒ, ΒΖ, ΖΓ, ΓΗ, ΗΔ, ΔΘ, ΘΑ, καὶ ἀνεστάτω ἀφ' ἑκάστου τῶν ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ τριγώνων πυραμὶς ἰσοϋψὴς τῷ κώνῳ. ἑκάστη ἄρα τῶν ἀνεσταμένων πυραμίδων μείζων ἐστὶν ἢ τὸ ἥμισυ τῶν καθ' αὐτὸ τμήματος τοῦ κώνου. τοιαύτης δὴ γινομένης ἀεὶ ἐπισκέψεως ληφθήσεταί τινα τμήματα ἀπὸ τοῦ ὅλου κώνου, ἃ ἔσται

ἔλαττον αὐτοῦ στερεοῦ. λελήφθω· καὶ ἀνεστάτω ἐπὶ τῶν *ΑΕΒ*, *ΒΖΓ*, *ΓΗΔ*, *ΔΘΑ*. λοιπὴ ἄρα ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ *ΑΕΒΖΓΗΔΘ* πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ, μεῖζόν ἐστιν ἢ τρίτον μέρος τοῦ κυλίνδρου τοῦ βάσιν μὲν ἔχοντος τὸν *ΑΒΓΔ* κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ. ἀλλ' ἡ πυραμίς, ἧς βάσις μέν ἐστιν ἡ *ΑΕΒΖΓΗΔΘ* πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ, τοῦ βάσιν μὲν ἔχοντος τὸ *ΑΕΒΖΓΗΔΘ* πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ. καὶ τὸ πρίσμα ἄρα, οὗ βάσις μέν ἐστι τὸ *ΑΕΒΖΓΗΔΘ* πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ, μεῖζόν ἐστι τοῦ κυλίνδρου τοῦ βάσιν μὲν ἔχοντος τὸν *ΑΒΓΔ* κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ, μεῖζόν ἐστι τοῦ κυλίνδρου τοῦ βάσιν μὲν ἔχοντος τὸν *ΑΒΓΔ* κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ. ἀλλὰ καὶ ἐμπεριέχεται ἐν αὐτῷ· ὅπερ ἀδύνατον. οὐκ ἄρα ὁ κύλινδρος τοῦ κώνου ἐλάττων ἐστὶν ἢ τριπλάσιος. ἐδείχθη δέ, ὅτι οὐδὲ μείζων ἢ τριπλάσιος. τριπλάσιος ἄρα ἐστίν.

---

10 Οἱ ὅμοιοι κῶνοι καὶ κύλινδροι πρὸς ἀλλήλους ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν ἐν ταῖς βάσεσι διαμέτρων.

ἔστωσαν ὅμοιοι κῶνοι καὶ κύλινδροι, ὧν βάσεις μὲν ἔστωσαν οἱ *ΑΒΓΔ*, *ΕΖΗΘ* κύκλοι, ἄξονες δὲ οἱ *ΚΛ*, *ΜΝ*, διάμετροι δὲ ἔστωσαν αἱ *ΒΓ*, *ΖΘ*. λέγω, ὅτι ὁ *ΑΒΓΔΚΛ* κῶνος πρὸς τὸν *ΕΖΗΘΜΝ* κῶνον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ *ΒΔ* πρὸς *ΖΘ*.

εἰ γὰρ μὴ ὁ *ΑΒΓΔΚΛ* κῶνος πρὸς τὸν *ΕΖΗΘΜΝ* τριπλασίονα λόγον ἔχει ἤπερ ἡ *ΒΔ* πρὸς τὴν *ΖΘ*, ἕξει ἄρα ὁ *ΑΒΓΔΚΛ* κῶνος ἤτοι πρὸς ἔλασσόν τι τοῦ *ΕΖΗΘΜΝ* κώνου στερεὸν τριπλασίονα λόγον ἤπερ ἡ *ΒΔ* πρὸς τὴν *ΖΘ* ἢ πρὸς τὸ μεῖζον. ἐχέτω πρό-

τερον πρὸς ἔλασσον τὸ Α, καὶ ἐγγεγράφθω εἰς τὸν ΕΖΗΘ κύκλον τετράγωνον τὸ ΕΖΗΘ, καὶ ἀνεστάτω ἀπὸ τοῦ ΕΖΗΘ τετραγώνου πυραμὶς ἰσουψὴς τῷ κώνῳ. ἡ ἄρα ἀνεσταμένη πυραμὶς μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ κώνου. τετμήσθωσαν αἱ ΕΖ, ΖΗ, ΗΘ, ΘΕ περιφέρειαι δίχα κατὰ τὰ Ξ, Ο, Π, Ρ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΞ, ΞΖ, ΖΟ, ΟΗ, ΗΠ, ΠΘ, ΘΡ, ΡΕ, καὶ ἀνεστάτω ἀφ' ἑκάστου τῶν ΕΞ, ΞΖ, ΖΟ, ΟΗ, ΗΠ, ΠΘ, ΘΡ, ΡΕ τριγώνων πυραμὶς ἰσουψὴς τῷ κώνῳ. ἑκάστη ἄρα τῶν ἀνεσταμένων πυραμίδων μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ καθ' αὑτὴν τμήματος τοῦ κώνου. τοιαύτης δὴ γινομένης ἀεὶ ἐπισκέψεως ληφθήσεταί τινα τμήματα ἀπὸ τοῦ ὅλου κώνου, ἃ ἔσται ἐλάσσονα τοῦ Α στερεοῦ. λελήφθω καὶ ἔστω τὰ ἐπὶ τῶν ΕΞΖ, ΖΟΗ, ΗΠΘ, ΘΡΕ. λοιπὴ ἄρα ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ ΕΞΖΖΟΗΗΠΘΡΕ πολύγωνον, κορυφὴ δὲ τὸ Ν σημεῖον, μεῖζόν ἐστι τοῦ Α στερεοῦ. ἐγγεγράφθω εἰς τὸν ΑΒΓΔ κύκλον τῷ ΕΞΖΟΗΠΘΡΕ πολυγώνῳ ὅμοιόν τε πολύγωνον τὸ ΑΕΒΤΓΤΥΔΦΑ, καὶ ἀνεστάτω ἀπὸ τοῦ ΑΣΒΤΓΥΔΦ πολυγώνου πρίσμα ἰσουψὲς τῷ κώνῳ, καὶ τῶν μὲν περιεχόντων τὴν πυραμίδα, ἧς βάσις μέν ἐστι τὸ ΑΕΒΤΓΥΔΦ πολύγωνον, κορυφὴ δὲ το Λ σημεῖον, τρίγωνον ἐφεστάτω τὸ ΛΣΒ, τῶν δὲ περιεχόντων τὴν πυραμίδα, ἧς βάσις μέν ἐστι τὸ ΕΞΟΗΠΘΡ πολύγωνον, κορυφὴ δὲ τὸ Ν σημεῖον ἐφεστάτω τὸ ΝΖΞ τρίγωνον, καὶ ἐπεζεύχθωσαν αἱ ΣΚ, ΜΞ. ἐπεὶ ὅμοιοι κῶνοι καὶ κύλινδροί εἰσιν, ὧν ἀνάλογόν εἰσιν οἵ τε ἄξονες καὶ οἱ διάμετροι τῶν βάσεων, ἔστιν ἄρα ὡς ἡ ΚΛ πρὸς τὴν ΜΝ, οὕτως ὁ ΒΔ πρὸς τὴν ΖΘ. ὡς δὲ ἡ ΒΔ πρὸς τὴν ΖΘ, οὕτως ἡ ΒΚ πρὸς τὴν ΜΖ. ὡς ἄρα ἡ ΚΛ πρὸς τὴν ΚΒ,

οὕτως ἡ MN πρὸς τὴν MZ· καὶ περὶ ὀρθὰς γωνίας τὰς ὑπὸ τῶν ΔK, KB, MN, MZ αἱ πλευραὶ ἀνάλογόν εἰσιν. ὅμοιον ἄρα ἐστὶ τὸ KBΛ τρίγωνον τῷ MNZ τριγώνῳ. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ KΛ πρὸς τὴν ΛB, οὕτως ἡ MN πρὸς τὴν ZN. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ KΛ πρὸς την MN, οὕτως ἡ ΛZ πρὸς τὴν NZ. πάλιν ἐπεί ἐστιν ὡς ἡ ΣK πρὸς τὴν KΛ, οὕτως ἡ MΞ πρὸς τὴν MN, καὶ περὶ ὀρθὰς γωνίας τὰς ὑπὸ τῶν ΣKΛ, ΞMN αἱ πλευραὶ ἀνάλογόν εἰσιν, ὅμοιον ἄρα ἐστὶ τὸ ΣKΛ τρίγωνον τῷ ΞMN τριγώνῳ. ἀνάλογον ἄρα ἐστίν, ὡς ἡ KΛ πρὸς τὴν MN, οὕτως ἡ ΛΣ πρὸς τὴν NΞ, ἐδείχθη δὲ καὶ ὡς ἡ ΛK πρὸς τὴν MN, οὕτως ἡ ΛB πρὸς τὴν NZ· ὡς ἄρα ἡ ΛB πρὸς τὴν NZ, οὕτως ἡ ΛΣ πρὸς τὴν NΞ. καὶ ἐπεί ἐστιν, ὡς ἡ BK πρὸς τὴν KΓ, οὕτως ἡ ZM πρὸς τὴν MΞ, καὶ περὶ ἴσας γωνίας τὰς ὑπὸ τῶν BKΣ, ZMΞ αἱ πλευραὶ ἀνάλογόν εἰσιν, ὅμοιον ἄρα ἐστὶ το BKΣ τρίγωνον τῷ ZMΞ τριγώνῳ· ἔστιν ἄρα ὡς ἡ ΣK πρὸς ΣB, οὕτως ἡ ΞM πρὸς ΞZ. ἀλλὰ μὴν καὶ ὡς ἡ ΣK πρὸς τὴν ΣΛ, οὕτως ἡ MΞ πρὸς τὴν ΞN. δι' ἴσου ἄρα ἐστὶν ἡ ΛΣ πρὸς ΣB, οὕτως ἡ NΞ πρὸς τὴν ΞZ. ἐναλλὰξ ἄρα ἐστίν, ὡς ἡ ΛΣ πρὸς τὴν NΞ, οὕτως ἡ ΣB πρὸς τὴν ΞZ. ἐδείχθη δὲ καὶ ὡς ἡ ΛΣ πρὸς τὴν NΞ, οὕτως ἡ ΛB πρὸς τὴν NZ. ὡς ἄρα ἡ ΛB πρὸς τὴν NZ, οὕτως ἡ ΛΣ πρὸς τὴν NΞ· ὅμοιον ἄρα ἐστὶ τὸ ΛΣB τρίγωνον τῷ NΞZ τριγώνῳ. καὶ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ KBΣ τρίγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον, ὁμοία ἐστὶ τῇ πυραμίδι τῇ βάσιν μὲν ἐχούσῃ τὸ MΞZ τρίγωνον, κορυφὴν δὲ τὸ N σημεῖον. αἱ δὲ ὅμοιαι πυραμίδες καὶ τριγώνους βάσεις ἔχουσαι πρὸς ἀλλήλας *ἐν τρι-*

πλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν. ἡ ἄρα πυραμίς, ἧς βάσις μέν ἐστι τὸ ΒΚΣ τρίγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ ΜΖΞ τρίγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον, τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΚ πρὸς τὴν ΖΜΘ. καὶ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ ΚΒΣ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ ΜΞΖ τρίγωνον, κορυφὴν δὲ το Ν σημεῖον, τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΘΖ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἑκάστη τῶν λοιπῶν πυραμίδων, ὧν βάσεις μέν εἰσι τὰ ΣΚ, ΜΚ, ΦΚΛ, ΚΔΥ, ΥΚΓ, ΚΓΤ, ΚΤΒ τὰ τρίγωνα, κορυφὴ δὲ τὸ Λ σημεῖον, πρὸς ἑκάστην τῶν πυραμίδων, ὧν βάσεις μέν εἰσι τὰ ΞΜΕ, ΕΜΡ, ΜΘΡ, ΜΘΠ, ΜΠΝ, ΗΜΘ, ΜΟΖ τὰ τρίγωνα, κορυφὴ δὲ τὸ Ν σημεῖον, τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ. καὶ ἡ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ ΑΣΒΤΓΜΟΦΑ πολύγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ ΕΞΞΟΗΠΘΡ πολύγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον, τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ. καὶ ἐπεὶ ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς τὸ Α στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ, ἔχει δὲ καὶ ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ ΑΓΒΠΥΦΔ πολύγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ ΕΞΞΘΗΠΘΡ πολύγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον, τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ, ἔστιν ἄρα, ὡς ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς τὸ Α στερεόν, οὕτως ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ ΑΣΒΤΓΥΔΦ πολύγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν

μὲν ἔχουσαν τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον. ἐναλλὰξ ἄρα ἐστίν, ὡς ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ ΑΣΒΓΠΥΔΦ πολύγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον, οὕτως τὸ Α στερεὸν πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον. μείζων δὴ ὁ ΑΒΓΔΚΛ κῶνος τῆς πυραμίδος τῆς βάσιν μὲν ἐχούσης τὸ ΑΣΒΠΥΦΔ πολύγωνον, κορυφὴν δὲ τὸ Λ σημεῖον. μεῖζον ἄρα καὶ τὸ Α στερεὸν τῆς πυραμίδος τῆς βάσιν μὲν ἐχούσης τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον. ἀλλὰ καὶ ἐλάττων· ὅπερ ἄτοπον. οὐκ ἄρα ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς ἔλαττόν τι τοῦ ΕΖΗΘΜΝ κώνου στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ. λέγω δή, ὅτι οὐδὲ πρὸς μεῖζον. εἰ γὰρ δυνατόν, ἔστω πρὸς τὸ Α. ἀνάπαλιν ἄρα τὸ Α στερεὸν πρὸς τὸν ΑΒΓΔΚΛ κῶνον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΖΘ πρὸς τὴν ΔΒ. ὡς δὲ τὸ Α στερεὸν πρὸς τὸν ΑΒΓΔΚΛ κῶνον, οὕτως ὁ ΕΖΗΜΜΝ κῶνος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔΚΛ κώνου στερεόν. ὁ ΕΖΗΘΜΝ ἄρα κῶνος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔΚΛ κώνου στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΖΘ πρὸς τὴν ΒΔ· ὅπερ ἀδύνατον δέδεικται. οὐκ ἄρα ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς μεῖζόν τι τοῦ ΕΖΗΘΜΝ κώνου στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ. ἐδείχθη δέ, ὅτι οὐδὲ πρὸς ἔλαττόν τι. ὁ ΑΒΓΔΚΛ ἄρα κῶνος πρὸς τον ΕΖΗΘΜΝ κῶνον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ.

---

11 *Οἱ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντες κῶνοι καὶ κύλινδροι πρὸς ἀλλήλους εἰσὶν ὧν αἱ βάσεις.*

ἔστωσαν ὑπὸ τὸ αὐτὸ ὕψος ὄντες κῶνοι καὶ κύλινδροι, ὧν αἱ βάσεις ἔστωσαν οἱ ΑΒΓΔ, ΕΖΗΘ κύκλοι, ἄξονες δὲ οἱ ΚΛ, ΜΝ, διάμετροι δὲ τῶν βάσεων ἔστωσαν αἱ ΖΔ, ΖΘ. λέγω, ὅτι ἐστίν, ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔΛ[1]) κῶνος πρὸς τὸν ΕΖΗΘΝ κῶνον. εἰ γὰρ μή ἐστιν ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔ κῶνος πρὸς τὸν ΕΖΗΘ, ἔσται ὁ ΑΒΓΔΚΛ κῶνος ἤτοι πρὸς ἔλαττόν τι τοῦ ΕΖΗΘ κώνου στερεὸν ἢ πρὸς μεῖζον. ἔστω πρότερον πρὸς ἔλαττον τὸ Δ στερεόν, καὶ ἐγγεγράφθω εἰς τὸν ΕΖΗΘ κύκλον τετράγωνον τὸ ΕΖΗΘ, καὶ ἀνεστάτω ἀπὸ τοῦ ΕΖΗΘ τετραγώνου πυραμὶς ἰσουψὴς τῷ κώνῳ. ἡ ἄρα ἀνεσταμένη πυραμὶς μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ κώνου. τετμήσθωσαν αἱ ΕΖ, ΖΗ, ΗΘ περιφέρειαι δίχα κατὰ τὰ Ξ, Ο, Π, Ρ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΞ, ΞΖ, ΖΘ, ΘΗ, ΗΠ, ΠΘ, ΘΡ, ΡΣ, καὶ ἀνεστάτω ἀφ' ἑκάστου τῶν ΕΞ, ΞΖ, ΖΘ, ΘΗ, ΗΠ, ΠΘ, ΘΡ, ΡΣ τριγώνων πυραμὶς ἰσουψὴς τῷ κώνῳ. ἑκάστη ἄρα τῶν ἀνεσταμένων πυραμίδων μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ καθ' αὐτὴν τμήματος τοῦ κώνου. τοιαύτης δὴ γινομένης ἀεὶ ἐπισκέψεως ληφθήσεταί τινα τμήματα ἀπὸ τοῦ ὅλου κώνου, ἃ ἔσται ἐλάττονα τῆς ὑπεροχῆς, ἧς ὑπερέχει ὁ ΖΘΜΝ κύκλος τοῦ Δ στερεοῦ. λελήφθω καὶ ἔστω τὰ ἐπὶ τῶν ΕΞΖ, ΘΗΠ, ΘΡΕ. λοιπὴ ἄρα ἡ πυραμίς, ἧς βάσις μὲν τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴ δὲ τὸ Ν σημεῖον, μεῖζόν ἐστι τοῦ Δ στερεοῦ. ἐγγεγράφθω δὴ εἰς τὸν ΑΒΓΔ κύκλον τῷ ΕΞΖΟΗΠΘΡ πολυγώνῳ ὅμοιον

---

1) Δ supra scr. m. 1.

πολύγωνον τὸ *ΑΓΒΤΓΥΔΦ* πυραμὶς ἰσουψὴς τῷ κώνῳ. ἐπεί ἐστιν ὡς τὸ ἀπὸ τῆς *ΒΔ* τετράγωνον πρὸς τὸ ἀπὸ τῆς *ΖΘ* τετράγωνον, οὕτως ὁ *ΑΒΓΔ* κύκλος πρὸς τὸν *ΕΖΗΘ* κύκλον, ἀλλὰ μὴν καὶ ὡς τὸ ἀπὸ τῆς *ΒΔ* τετράγωνον πρὸς τὸ ἀπὸ τῆς *ΖΘ* τετράγωνον, οὕτως τὸ *ΑΣΒΠΥΔΦ* πολύγωνον πρὸς τὸ *ΕΞΖΟΗΠΘΡ* πολύγωνον, ὡς ἄρα ὁ *ΑΒΓΔ* κύκλος πρὸς τὸν *ΕΖΗΘ* κύκλον, οὕτως τὸ *ΑΣΒΤΓΥΔΦ* πολύγωνον πρὸς τὸ *ΕΞΖΟΗΠΘΡ* πολύγωνον. ἀλλ' ὡς μὲν ὁ *ΑΒΓΔ* κύκλος πρὸς τὸν *ΕΖΗΘ* κύκλον, οὕτως ὁ *ΑΒΓΔΚΛ* κῶνος πρὸς τὸ *Λ* στερεόν, ὡς δὲ τὸ *ΑΣΒΤΓΥΔΦ* πολύγωνον πρὸς τὸ *ΕΞΖΟΗΠΘΡ* πολύγωνον, οὕτως ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ *ΑΣΒΤΓΥΔΦ* πολύγωνον, οὕτως ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ *ΑΣΒΤΓΥΔΦ* πολύγωνον, κορυφὴ δὲ τὸ *Λ* σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ *ΕΞΖΟΗΠΘΡ* πολύγωνον, κορυφὴν δὲ τὸ *Ν* σημεῖον. ὡς ἄρα ὁ *ΑΒΓΔΚΛ* κῶνος πρὸς τὸ *Λ* στερεόν, οὕτως ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ *ΑΣΒΤΓΥΔΦ* πολύγωνον, κορυφὴ δὲ τὸ *Λ* σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ *ΕΞΖΟΗΠΘΡ* πολύγωνον, κορυφὴν δὲ τὸ *Ν* σημεῖον. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ *ΑΒΓΔΚΛ* κῶνος πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ *ΑΣΒΤΓΥΔΦ* πολύγωνον, κορυφὴν δὲ τὸ *Λ* σημεῖον, οὕτως τὸ *Λ* στερεὸν πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ *ΕΞΖΟΗΠΘΡ* πολύγωνον, κορυφὴν δὲ τὸ *Ν* σημεῖον. μείζων δὲ ὁ *ΑΒΓΔΚΛ* κῶνος τῆς πυραμίδος τῆς βάσιν μὲν ἐχούσης τὸ *ΑΣΒΤΓΥΔΦ* πολύγωνον, κορυφὴν δὲ τὸ *Λ* σημεῖον. μεῖζον ἄρα καὶ τὸ *Λ* στερεὸν τῆς πυραμίδος τῆς βάσιν μὲν ἐχούσης τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴν

δὲ τὸ Ν σημεῖον. ἀλλὰ καὶ ἔλαττον· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἐστὶν ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς ἔλαττόν τι τοῦ ΕΖΘΝ κώνου στερεόν.

λέγω δὴ οὐδὲ πρὸς μεῖζον. εἰ γὰρ δυνατόν, ἔστω πρὸς μεῖζον τὸ Λ. ἀνάπαλιν ἄρα ἐστὶν ὡς ὁ ΕΖΗΘ κύκλος πρὸς τὸν ΑΒΓΔ κύκλον, οὕτως τὸ Λ στερεὸν πρὸς τὸν ΑΒΓΔΛ κῶνον. ὡς δὲ τὸ Λ στερεὸν πρὸς τὸν ΑΒΓΔΛ κῶνον, οὕτως ὁ ΕΖΗΘΝ κῶνος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔΛ κώνου στερεόν. ὡς ἄρα ὁ ΕΖΗΘ κύκλος πρὸς τὸν ΑΒΓΔ κύκλον, οὕτως ὁ ΕΖΗΘΝ κῶνος πρὸς ἔλαττόν τι τοῦ κώνου τοῦ ΑΒΓΔΛ[1]) *στερεοῦ· ὅπερ ἀδύνατον δέδεικται. οὐκ ἄρα ἐστὶν ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔΛ κῶνος πρὸς μεῖζόν τι τοῦ ΕΖΗΘΝ κώνου στερεόν. ἐδείχθη δέ, ὅτι οὐδὲ πρὸς ἔλαττον. ἔστιν ἄρα ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔΛ κῶνος πρὸς τὸν ΕΖΗΘΝ κῶνον. καί ἐστι μὲν κύλινδρος ὁ βάσιν ἔχων τὸν ΑΒΓΔ κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ, τριπλάσιος τοῦ ΑΒΓΔΛ κώνου, τοῦ δὲ ΕΖΗΘΝ κώνου τριπλάσιος ὁ κύλινδρος ὁ βάσιν μὲν ἔχων τὸν ΕΖΗΘ κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ. ἔστιν ἄρα ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔΛ κύλινδρος πρὸς τὸν ΕΖΗΘΝ κύλινδρον.*

Ἐὰν κύλινδρος ἐπιπέδῳ τμηθῇ παραλλήλῳ ὄντι τοῖς 1
ἀπεναντίον ἐπιπέδοις, ἔσται ὡς ὁ κύλινδρος πρὸς τὸν κύλινδρον, οὕτως ὁ ἄξων πρὸς τὸν ἄξονα.

1) Λ supra scr. m. 1.

κύλινδρος γὰρ ὁ *ΑΔ* ἐπιπέδῳ τῷ *ΗΘ* τετμήσθω παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις τοῖς *ΑΒ*, *ΓΔ*, καὶ συμβαλλέτω τῷ τοῦ κυλίνδρου ἄξονι τὸ *ΗΘ* ἐπίπεδον κατὰ τὸ *Κ* σημεῖον. λέγω, ὅτι ἐστὶν ὡς ὁ *ΗΘ* κύλινδρος πρὸς τὸν *ΗΔ* κύλινδρον, οὕτως ὁ *ΕΚ* ἄξων. ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ *Λ*, *Μ* σημεῖα, καὶ κείσθωσαν τῷ μὲν *ΕΚ* ἄξονι ἴσοι ὁσοιδήποτε ὁ *ΖΞ*, *ΖΜ*, καὶ ἐκβεβλήσθω διὰ τῶν *Λ*, *Ν*, *Ξ*, *Μ*[1]) σημείων ἐπίπεδα παράλληλα τοῖς *ΑΒ*, *ΓΔ*, καὶ νενοήσθωσαν ἐν τοῖς διὰ τῶν *Λ*, *Ν*, *Ξ*, *Μ* σημείων ἐπιπέδοις περὶ κέντρα τὰ *Λ*, *Ν*, *Ξ*, *Μ* κύκλοι οἱ *ΟΠΡΣ*, *ΤΥΦΧ* ἴσοι ὄντες τοῖς *ΑΒΓΔ*, καὶ νενοήσθωσαν κύλινδροι οἱ *ΠΡ*, *ΡΒ*, *ΔΤ*, *ΤΧ*. καὶ ἐπεὶ οἱ *ΛΝ*, *ΝΕ*, *ΕΚ* ἄξονες ἴσοι εἰσὶν ἀλλήλοις, οἱ ἄρα *ΠΡ*, *ΗΡ*, *ΒΗ* κύλινδροι πρὸς ἀλλήλους εἰσὶν ὡς αἱ βάσεις. ἴσαι δὲ ἀλλήλαις εἰσὶν αἱ βάσεις. ἴσοι ἄρα εἰσὶ καὶ οἱ *ΠΡ*, *ΡΒ*, *ΒΗ* κύλινδροι ἀλλήλοις. καὶ ἐπεὶ οἱ *ΛΝ*, *ΝΕ*, *ΕΚ* ἄξονες ἴσοι εἰσὶν ἀλλήλοις, εἰσὶ δὲ καὶ οἱ *ΠΡ*, *ΡΒ*, *ΒΗ* κύλινδροι ἴσοι ἀλλήλοις, καί ἐστιν ἴσον τὸ πλῆθος τῷ πλήθει, ὁσαπλασίων ἄρα ἐστὶν ὁ *ΛΚ* ἄξων τοῦ *ΕΚ* ἄξονος, τοσαυταπλασίων ἐστὶ καὶ ὁ *ΠΗ* κύλινδρος τοῦ *ΒΗ* κυλίνδρου. διὰ τὰ αὐτὰ δὴ καὶ ὁσαπλασίων ἐστὶν ὁ *ΜΚ* ἄξων τοῦ *ΚΖ* ἄξονος, τοσαυταπλασίων ἐστὶ καὶ ὁ *ΧΗ* κύλινδρος τοῦ *ΗΔ* κυλίνδρου. εἰ μὲν οὖν ἴσος ἐστὶν ὁ *ΛΚ* ἄξων τῷ *ΚΜ* ἄξονι, ἴσος ἐστὶ καὶ ὁ *ΠΗ* κύλινδρος τῷ *ΗΧ* κυλίνδρῳ, εἰ δὲ μείζων ἐστὶν ὁ *ΚΛ* ἄξων τοῦ *ΚΜ* ἄξονος, μείζων ἐστὶ καὶ ὁ *ΠΗ* κύλινδρος τοῦ *ΗΧ* κυλίνδρου, εἰ δὲ ἐλάσσων ἐστὶν ὁ *ΛΚ* ἄξων τοῦ

1) *Λ* in ras.; supra N scr. M m. 1.

ΚΜ ἄξονος, ἐλάσσων ἐστὶ καὶ ὁ ΠΗ κύλινδρος τοῦ ΗΧ κυλίνδρου. τεσσάρων δὴ μεγεθῶν ὄντων, ἀξόνων μὲν τῶν ΕΚ, ΚΖ, κυλίνδρων τῶν ΒΗ, ΗΔ, εἴληπται ἰσάκις πολλαπλάσια τοῦ μὲν ΕΚ ἄξονος καὶ ΒΗ κυλίνδρου ὅ τε ΚΛ ἄξων καὶ ὁ ΠΗ κύλινδρος, τοῦ δὲ ΚΖ ἄξονος καὶ τοῦ ΗΔ κυλίνδρου ὅ τε ΚΜ ἄξων καὶ ὁ Η κύλινδρος, καὶ δέδεικται, ὅτι, εἰ ὑπερέχει ὁ ΛΚ ἄξων τοῦ ΚΜ ἄξονος, ὑπερέχει καὶ ὁ ΠΗ κύλινδρος τοῦ ΗΧ κυλίνδρου, καὶ εἰ ἴσος ἐστὶν ὁ ΚΛ ἄξων τῷ ΚΜ ἄξονι, ἴσος ἐστὶ καὶ ὁ ΠΗ κύλινδρος τῷ ΗΧ κυλίνδρῳ, καὶ εἰ ἐλάσσων ἐστὶν ὁ ΛΚ ἄξων τοῦ ΚΜ ἄξονος, ἐλάσσων ἐστὶ καὶ ὁ ΠΗ κύλινδρος τοῦ ΗΧ κυλίνδρου, ἔστιν ἄρα ὡς ὁ ΕΚ ἄξων πρὸς τὸν ΚΖ ἄξονα, οὕτως ὁ ΒΗ κύλινδρος πρὸς τὸν ΗΔ κύλινδρον.

Οἱ ἐπὶ ἴσων βάσεων ὄντες κῶνοι καὶ κύλινδροι πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ὕψη. 1

ἔστωσαν γὰρ ἐπὶ ἴσων βάσεων τῶν ΑΒ, ΓΔ κύλινδροι οἱ ΕΒ, ΖΔ. λέγω, ὅτι ἐστὶν ὡς ὁ ΗΒ ἄξων πρὸς τὸν ΚΛ ἄξονα, οὕτως ὁ ΕΒ κύλινδρος πρὸς τὸν ΖΔ κύλινδρον.

ἐκβεβλήσθω γὰρ ο ΚΛ ἄξων ἐπὶ τὸ Ν σημεῖον, καὶ κείσθω τῷ ΗΘ ἄξονι ἴσος ο ΛΝ, καὶ περὶ ἄξονα τὸν ΛΝ κύλινδρος νοείσθω ὁ ΓΜ. ἐπεὶ οὖν οἱ ΕΒ, ΓΜ κύλινδροι ὑπὸ τὸ αὐτό εἰσιν ὕψος, πρὸς ἀλλήλους εἰσὶν ὡς αἱ βάσεις. ἴσαι δέ εἰσιν αἱ βάσεις. ἴσος ἄρα καὶ ὁ ΒΕ κύλινδρος τῷ ΓΜ κυλίνδρῳ. καὶ ἐπεὶ κύλινδρος ὁ ΖΜ ἐπιπέδῳ τῷ ΓΔ τέτμηται παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις, ἔστιν ἄρα ὡς ὁ ΓΜ κύλινδρος πρὸς τὸν ΖΔ κύλινδρον, οὕτως ὁ ΛΝ πρὸ

τὸν ΚΛ ἄξονα. ἴσος δέ ἐστιν ὁ μὲν ΓΜ κύλινδρος τῷ ΕΒ κυλίνδρῳ, ὁ δὲ ΛΜ ἄξων τῷ ΗΘ ἄξονί ἐστιν. ἔστιν ἄρα ὡς ὁ ΕΒ κύλινδρος πρὸς τὸν ΖΔ κύλινδρον, οὕτως ὁ ΗΘ ἄξων πρὸς τὸν ΚΛ ἄξονα. ὡς δὲ ὁ ΒΕ κύλινδρος πρὸς τὸν ΖΔ κύλινδρον, οὕτως ὁ ΑΒΗ κῶνος πρὸς τὸν ΓΔΚ κῶνον. καὶ ὡς ἄρα ὁ ΗΘ ἄξων πρὸς τὸν ΚΛ ἄξονα, οὕτως ὅ τε ΑΒΗ κῶνος πρὸς τὸν ΓΔΚ κῶνον καὶ ὁ ΕΒ κύλινδρος πρὸς τὸν ΖΔ κύλινδρον.

---

14 Τῶν ἴσων κώνων καὶ κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι, καὶ ὧν κώνων καὶ κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ἐκεῖνοι ἴσοι εἰσίν.

ἔστωσαν ἴσοι κῶνοι καὶ κύλινδροι, ὧν βάσεις μὲν οἱ ΑΒΓΔ κύκλοι, ἄξονες δὲ οἱ ΕΖ, ΗΘ. λέγω, ὅτι τῶν ΑΒΖ, ΓΔΘ κώνων καὶ κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι, τουτέστιν ὡς ἡ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΗΘ ὕψος πρὸς τὸ ΕΖ ὕψος.

τὸ γὰρ ΕΖ ὕψος τῷ ΗΘ ὕψει ἤτοι ἴσον ἐστὶν ἢ οὔ. ἔστω πρότερον ἴσον. οἱ δὲ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντες κῶνοι καὶ κύλινδροι πρὸς ἀλλήλους εἰσὶν ὡς αἱ βάσεις. ἔστιν ἄρα ὡς ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΘ κῶνον ἢ κύλινδρον, οὕτως ἡ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν. ἴσος δέ ἐστιν ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος τῷ ΚΔΘ κώνῳ ἢ κυλίνδρῳ. ἴση ἄρα καὶ ἡ ΑΒ βάσις τῇ ΓΔ βάσει. ἔστι δὲ καὶ τὸ ΕΖ ὕψος τῷ ΗΘ ὕψει ἴσον. ἔστιν ἄρα ὡς ἡ ΑΕ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΗΘ ὕψος πρὸς τὸ ΕΖ ὕψος. μὴ ἔστω δὴ ἴσον τὸ ΗΘ ὕψος τῷ ΕΖ ὕψει, ἀλλ' ἔστω μεῖζον τὸ ΗΘ, καὶ κείσθω τὸ ΕΖ

ἴσον τῷ *HK*, καὶ ἀπὸ βάσεως τῆς *ΓΔ*, ὕψους δὲ τοῦ *HK* νενοήσθω κῶνος ἢ κύλινδρος ὁ *ΓΔΚ*. ἐπεὶ οὖν ὁ *ABZ* κῶνος ἢ κύλινδρος τῷ *ΓΔ* κώνῳ ἢ κυλίνδρῳ ὑπὸ τὸ αὐτὸ ὕψος ἐστὶν ἄρα ὡς ἡ *AB* βάσις πρὸς τὴν *ΓΔ* βάσιν, οὕτως ὁ *ABZ* κῶνος ἢ κύλινδρος πρὸς *ΓΔΚ* κῶνον ἢ κύλινδρον. ἴσος δὲ ὁ *ABZ* κῶνος ἢ κύλινδρος τῷ *ΓΔΘ* κώνῳ ἢ κυλίνδρῳ. ἔστιν ἄρα ὡς ἡ *AB* βάσις πρὸς τὴν *ΓΔ* βάσιν, οὕτως ὁ *ΓΔΘ* κῶνος ἢ κύλινδρος πρὸς τὸν *ΓΔΚ* κῶνον ἢ κύλινδρον. ὡς δὲ ὁ *ΓΔΘ* κῶνος ἢ κύλινδρος πρὸς τὸν *ΓΔΚ* κῶνον ἢ κύλινδρον, οὕτως τὸ *HΘ* ὕψος πρὸς τὸ *HK* ὕψος. καὶ ὡς ἄρα ἡ *AB* βάσις πρὸς τὴν *ΓΔ* βάσιν, οὕτως τὸ *HΘ* ὕψος πρὸς τὸ *HK* ὕψος. ἴσον δὲ τὸ *HK* ὕψος τῷ *EZ* ὕψει. ἔστιν ἄρα ὡς ἡ *AB* βάσις πρὸς τὴν *ΓΔ* βάσιν, οὕτως τὸ *HΘ* ὕψος πρὸς τὸ *EZ* ὕψος. τῶν *ABZ*, *ΓΔΘ* ἄρα κώνων ἢ κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν.

ἀλλὰ δὴ ἀντιπεπονθέτωσαν αἱ βάσεις τοῖς ὕψεσιν, καὶ ἔστω ὡς ἡ *AB* βάσις πρὸς τὴν *ΓΔ* βάσιν, οὕτως τὸ *HΘ* ὕψος πρὸς τὸ *EZ* ὕψος. λέγω, ὅτι ἴσος ἐστὶν ὁ *ABΞ* κῶνος ἢ κύλινδρος τῷ *ΓΘΔ* κώνῳ ἢ κυλίνδρῳ. πάλιν γὰρ τὸ *EZ* ὕψος τῷ *HΘ* ὕψει ἤτοι ἴσον ἐστὶν ἢ οὔ. ἔστω πρότερον ἴσον. ἔστιν ἄρα ὡς ἡ *AB* βάσις πρὸς τὴν *ΓΔ* βάσιν, οὕτως ὁ *ABZ* κῶνος ἢ κύλινδρος πρὸς τὸν *ΓΔΘ* κῶνον ἢ κύλινδρον. ὡς δὲ ἡ *AB* βάσις πρὸς τὴν *ΓΔ* βάσιν, οὕτως τὸ *HΘ* ὕψος πρὸς τὸ *EZ* ὕψος. καὶ ὡς ἄρα ὁ *ABZ* κῶνος ἢ κύλινδρος πρὸς τὸν *ΓΔΘ* κῶνον ἢ κύλινδρον, οὕτως τὸ *HΘ* ὕψος πρὸς τὸ *EZ* ὕψος. ἴσον δὲ τὸ *HΘ* ὕψος τῷ *EZ* ὕψει. ἴσος ἄρα καὶ ὁ *ABZ* κῶνος ἢ κύλινδρος τῷ *ΓΔΘ* κώνῳ ἢ κυλίνδρῳ. μὴ ἔστω δὴ ἴσον

τὸ ΕΖ ὕψος τῷ ΗΘ ὕψει, καὶ ἔστω μεῖζον τὸ ΗΘ τῷ ΕΖ, καὶ κείσθω τὸ ΕΖ ἴσον τῷ ΗΚ. ἔστιν ἄρα ὡς ἡ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΚ κῶνον ἢ κύλινδρον. ὡς δὲ ὁ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΗΘ ὕψος πρὸς τὸ ΕΖ ὕψος, τουτέστι πρὸς τὸ ΗΚ. καὶ ὡς ἄρα ὁ ΑΖΒ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΚ κῶνον ἢ κύλινδρον, οὕτως τὸ ΗΘ ὕψος πρὸς τὸ ΗΚ ὕψος, ὡς δὲ τὸ ΗΘ ὕψος πρὸς τὸ ΗΚ ὕψος, οὕτως ὁ ΓΔΘΔΒΖ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔ κῶνον ἢ κύλινδρον. καὶ ὡς ἄρα ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΚ κῶνον ἢ κύλινδρον, οὕτως ὁ ΓΔΘ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΚ κῶνον ἢ κύλινδρον. τὰ δὲ πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχοντα λόγον ἴσα ἐστίν. ἴσος ἄρα ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος τῷ ΓΔΘ κώνῳ ἢ κυλίνδρῳ· ὅπερ ἔδει δεῖξαι.

Δύο κύκλων περὶ τὸ αὐτὸ κέντρον ὄντων εἰς τὸν μείζονα κύκλον πολύγωνον ἰσόπλευρον ἐγγράψαι μὴ ψαῦον τοῦ ἐλάσσονος κύκλου.

ἔστωσαν δύο κύκλοι περὶ τὸ αὐτὸ κέντρον οἱ ΑΒΓ, ΔΕΖ. δεῖ δὴ εἰς τὸν μείζονα κύκλον τὸν ΑΒΓΔ πολύγωνον ἰσόπλευρον ἐγγράψαι μὴ ψαῦον τοῦ ἐλάττονος κύκλου τοῦ ΕΖ.

ἤχθωσαν τῶν ΑΒΓ, ΔΕΖ κύκλων δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ ΑΓ, ΔΒ, καὶ ἤχθω ἀπὸ τοῦ Ζ τῇ ΑΓ πρὸς ὀρθὰς ἡ ΖΗ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ ΖΘ. ἐφάπτεται ἄρα τοῦ ΕΖ κύκλου. τέμνοντες δὴ τὴν ΓΔ περιφέρειαν δίχα καὶ τὴν ἡμίσειαν τῆς ΓΔ δίχα καὶ τοῦτο ἀεὶ ποιοῦντες καταλήψομέν τινα περιφέρειαν, ἥτις ἔσται ἐλάσσων τῆς ΗΓ. λελήφθω καὶ

ἔστω ἡ ΚΓ, καὶ ἤχθω ἀπὸ τοῦ Κ σημείου ἐπὶ τὴν ΑΓ κάθετος ἡ ΚΛ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Μ, καὶ ἐπεζεύχθωσαν αἱ ΚΓ, ΓΜ. ἑκατέρα ἄρα τῶν ΚΓ, ΓΜ πολυγώνου ἰσοπλεύρου ἐστὶ πλευρὰ τοῦ εἰς τὸν ΑΒΓΔ ἐγγραφομένου. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΗΘ τῇ ΚΜ, ἡ δὲ ΗΘ ἐφάπτεται τοῦ ΕΖ κύκλου, ἡ ΚΜ ἄρα οὐκ ἐφάπτεται τοῦ ΕΖ κύκλου. πολλῷ ἄρα οὐδετέρα τῶν ΚΓ, ΓΜ ἐφάπτεται τοῦ ΕΖ κύκλου. ἐὰν ἄρα τῇ ΚΓ περιφερείᾳ ἴσας περιφερείας ἀφαιρῶμεν κατὰ τὸ ἑξῆς καὶ ἐπιζευγνύομεν εὐθείας, ἔσται εἰς τὸν ΑΒΓΔ κύκλον πολύγωνον ἰσόπλευρον ἐγγεγραμμένον μὴ ψαῦον τοῦ ἐλάσσονος κύκλου τοῦ ΕΖ, καὶ φανερόν, ὅτι τὸ ἐγγραφόμενον πολύγωνον ἀρτιόπλευρόν ἐστιν· ὅπερ ἔδει δεῖξαι.

Δύο σφαιρῶν περὶ τὸ αὐτὸ κέντρον οὐσῶν εἰς τὴν 16
μείζονα σφαῖραν στερεὸν πολύεδρον ἢ καὶ ἀρτιόπλευρον ἐγγράψαι μὴ ψαῦον τῆς ἐλάσσονος σφαίρας κατὰ τὴν ἐπιφάνειαν.

ἐννοείσθωσαν δύο σφαῖραι περὶ τὸ αὐτὸ κέντρον οὖσαι τὸ Α. δεῖ δὴ εἰς τὴν μείζονα σφαῖραν στερεὸν πολύεδρον καὶ ἀρτιόπλευρον ἐγγράψαι μὴ ψαῦον τῆς ἐλάσσονος σφαίρας. τετμήσθωσαν αἱ σφαῖραι ἐπιπέδῳ διὰ τοῦ κέντρου. ποιήσει δὴ τομὰς μεγίστους κύκλους. ποιείτω τοὺς ΑΒΓΔ, ΕΖΗ, καὶ ἔστω ὁ μὲν ΒΓΔ κύκλος ἐν τῇ μείζονι σφαίρᾳ, ὁ δὲ ΕΖΗ ἐν τῇ ἐλάσσονι. καὶ ἤχθωσαν τοῦ ΒΓΔ κύκλου δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ ΒΕ, ΓΔ. καὶ δύο κύκλων περὶ τὸ αὐτὸ κέντρον ὄντων ΒΓΔ, ΕΖΗ εἰς τὸν μείζονα κύκλον τὸν ΒΓΔ πολύγωνον ἰσόπλευρόν τε καὶ ἀρτιόπλευρον ἐγγεγράφθω μὴ ψαῦον τοῦ ἐλάσσονος

κύκλου τοῦ ΕΖΗ, καὶ ἔστωσαν πλευραὶ τοῦ πολυγώνου αἱ ΒΚ, ΚΛ, ΛΜ, ΜΓ, καὶ ἐπιζευχθεῖσα ἡ ΜΛ ἐκβεβλήσθω ἐπὶ τὸ Ξ, καὶ ἀνεστάτω ἀπὸ τοῦ Α σημείου τῷ τοῦ ΒΓΔ κύκλου ἐπιπέδῳ πρὸς ὀρθὰς ἡ ΑΝ καὶ συμβαλλέτω τῇ ἐπιφανείᾳ τῆς μείζονος σφαίρας κατὰ τὸ Ν σημεῖον, καὶ δι' ἑκατέρας τῶν ΓΔ, ΜΞ καὶ τῆς ΑΝ ἐπίπεδα ἐκβεβλήσθω. ποιήσει δὴ τομὰς κύκλους. ποιείτω, ὧν ἡμικύκλια ἔστω τὰ ΓΝΔ, ΜΝΞ. καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΒΓΔ, ΓΝΔ, ΜΝΞ κύκλοι ἀλλήλοις, ὅσαι ἄρα εἰσὶν ἐν τῷ ΒΓ τεταρτημορίῳ πλευραὶ τοῦ πολυγώνου, τοσαῦταί εἰσι καὶ ἐν ἑκατέρῳ τῷ ΓΝ, ΜΝ τῇ ΜΓ ἴσαι. ἐνηρμόσθωσαν καὶ ἔστωσαν αἱ ΓΟ, ΟΠ, ΠΡ, ΡΝ, ΝΣ, ΣΤ, ΤΥ, ΥΜ, καὶ ἐπεζεύχθωσαν αἱ ΥΟ, ΤΠ, ΕΡ, καὶ ἀπὸ μὲν τοῦ Ο ἐπὶ τὴν ΓΔ κάθετος ἤχθω ἡ ΟΦ, ἀπὸ δὲ τοῦ Υ ἐπὶ τὴν ΜΞ ἡ ΥΧ, καὶ ἐπεζεύχθω ἡ ΦΧ. ἐπεὶ οὖν ἡ ΝΑ ὀρθή ἐστι πρὸς τὸ ΒΓ ἐπίπεδον, καὶ πάντα ἄρα τὰ διὰ τῆς ΝΑ ἐπίπεδα ὀρθά ἐστι πρὸς τὸ ΒΓ ἐπίπεδον. ἓν δέ τι τῶν διὰ τῆς ΝΑ ἐπιπέδων ἐστὶν ἡ ΓΝΔ κύκλος. ὁ ΓΝΔ ἄρα κύκλος ὀρθός ἐστι πρὸς τὸν ΒΓΔ κύκλον. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ ΜΝΞ κύκλος ὀρθός ἐστι πρὸς τὸν ΒΓΔ κύκλον. καὶ ἐπεὶ τὸ ΓΝΔ ἐπίπεδον ὀρθόν ἐστι πρὸς τὸ ΒΓΔ, καὶ τῇ κοινῇ τομῇ αὐτῶν τῇ ΓΔ πρὸς ὀρθὰς ἦκται ἐν τῷ ΓΝΔ ἐπιπέδῳ ἡ ΟΦ, ἡ ΟΦ ἄρα καὶ τῷ ΒΓΔ ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΥΧ τῷ ΒΓΔ ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς. παράλληλος ἄρα ἐστὶν ἡ ΟΦ τῇ ΥΧ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΥΜ τῇ ΟΓ, ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΥΜ τετράγωνον τῷ ἀπὸ τῆς ΟΓ τετραγώνῳ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΟΓ ἴσον ἐστὶ τὸ ὑπὸ τῶν ΔΓΦ, τῷ δὲ ἀπὸ τῆς ΥΜ ἴσον ἐστὶ

τὸ ἀπὸ τῆς[1]) ΞΜΧ. καὶ τὸ ὑπὸ τῶν ΔΓΦ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΞΜΧ καὶ ΔΓΦ[2]) τῷ ὑπὸ τῶν ΞΜΧ. καί ἐστιν ἴση ἡ ΔΓ τῇ ΞΜ. ἴση ἄρα ἐστὶ καὶ ἡ ΓΦ τῇ ΜΧ. ἔστι δὲ καὶ ὅλη ἡ ΓΑ ὅλῃ τῇ ΑΜ ἴση. παράλληλος ἄρα ἐστὶν ἡ ΦΧ τῇ ΜΓ. πάλιν ἐπεὶ τὸ ἀπὸ τῆς ΕΓΘ τετράγωνον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΥ τετραγώνῳ, ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΓΟ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΓΦ, ΦΟ· ἴση γὰρ ἡ ὑπὸ ΓΦΟ γωνία· τῷ δ' ἀπὸ τῆς ΜΥ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΜΧ, ΧΥ· ὀρθὴ γάρ ἐστιν ἡ ὑπὸ ΜΧΟ γωνία· καὶ τὰ ἀπὸ τῶν ΓΦ, ΦΟ ἄρα ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΜΧ, ΧΥ, ὧν τὸ ἀπὸ τῆς ΓΦ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΧ. λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΦΟ λοιπῷ τῷ ἀπὸ τῆς ΧΥ ἐστιν ἴσον. ἴση ἄρα ἐστὶν ἡ ΦΟ τῇ ΥΧ. ἔστι δὲ αὕτη καὶ παράλληλος. καὶ αἱ ΦΧ, ΟΥ ἄρα ἴσαι τέ εἰσι καὶ παράλληλοι. ἡ ἄρα ΦΧ τῇ ΓΜ ἐστι παράλληλος. καὶ ἡ ΓΜ ἄρα τῇ ΟΥ ἐστι παράλληλος. καὶ ἐφ' ἑκατέρας αὐτῶν εἴληπται τυχόντα σημεῖα τὰ Ν, Μ, Ο, Γ, καὶ ἐπεζευγμέναι εἰσὶν αἱ ΜΥ, ΓΟ. αἱ ἄρα ΥΜ, ΜΓ, ΓΟ, ΟΥ ἐν τούτῳ ἐστὶ καὶ τὸ ΥΜΓΟ τετράπλευρον. τὸ ἄρα ΥΜΓΟ τετράπλευρον ἐν ἑνί ἐστιν ἐπιπέδῳ. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκάτερον τῶν ΥΟΠΤ, ΡΣ τετραπλεύρων ἐν ἑνί ἐστιν ἐπιπέδῳ. ἔστι δὲ καὶ τὸ ΣΡΝ τρίγωνον ἐν ἑνὶ ἐπιπέδω. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΜΥ τῇ ΓΟ, καὶ παράλληλός ἐστιν ἡ ΜΓ τῇ ΥΟ, ἐν κύκλῳ ἄρα ἐστὶ τὰ Μ, Γ, Υ, Ο σημεῖα. ἤχθω ἀπὸ τοῦ Α σημείου ἐπὶ τὸ τοῦ ΜΓΥΟ τετραπλεύρου ἐπίπεδον κάθετος ἡ ΑΨ καὶ συμβαλλέτω τῷ ἐπιπέδῳ κατὰ τὸ Ψ. τὸ Ψ ἄρα σημεῖον κέν-

1) ἀπὸ τῆς corr. in ὑπὸ τῶν m. 1.
2) Φ corr. ex Χ m. 1.

τρον ἐστὶ τοῦ περὶ τὰ Μ, Γ, Ο, Υ σημεῖα κύκλου. ἐπεζεύχθω ἡ ΨΓ. καὶ ἐπεὶ τετράπλευρον ἐν κύκλῳ ἐστὶ τὸ ΜΓΟΥ, καὶ τρεῖς αἱ ΥΜ, ΜΓ, ΓΟ ἴσαι ἀλλήλαις εἰσίν, καὶ μείζων ἐστὶν ἡ ΜΓ τῆς ΥΟ, τὸ ἄρα ἀπὸ τῆς ΜΓ τοῦ ἀπὸ τῆς ΓΦ μεῖζόν ἐστιν ἢ διπλάσιον. ἤχθω ἀπὸ τοῦ ΜΕ ἐπὶ τὴν ΓΦ κάθετος ἡ ΜΩ. καὶ ἐπεὶ ἐλάσσων ἐστὶν ἡ ΓΩ τῆς ΩΔ, ὡς δὲ ἡ ΓΩ πρὸς τὴν ΩΔ, οὕτως τὸ ἀπὸ τῆς ΓΩ τοῦ ἀπὸ τῆς ΩΜ, τὰ ἄρα ἀπὸ τῶν ΓΩ, ΩΜ ἐλάσσονά ἐστι τοῦ δὶς ἀπὸ τῶν ΜΩ. ἀλλὰ τὸ ἀπὸ τῶν ΓΩ, ΩΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΓ. τὸ ἄρα ἀπὸ τῆς ΜΓ ἔλασσόν ἐστι τοῦ δὶς ἀπὸ τῶν ΜΩ. τὸ δὲ ἀπὸ τῆς ΜΓ τοῦ ἀπὸ τῆς ΓΨ μεῖζόν ἐστιν ἢ διπλάσιον. τὸ ἄρα ἀπὸ τῆς ΜΩ τοῦ ἀπὸ τῆς ΓΨ μεῖζόν ἐστιν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΓΑ τῇ ΑΜ, ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΓΘ τῷ ἀπὸ τῆς ΑΜ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΓΑ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΓΨ, ΨΑ. ὀρθὴ γάρ ἐστιν ἡ πρὸς τῷ Ψ γωνία. τῷ δὲ ἀπὸ τῆς ΜΑ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΜΩ, ΩΑ. ὀρθὴ γάρ ἐστιν ἡ ὑπὸ ΜΩΑ γωνία. τὰ ἀπὸ τῶν ΓΨ, ΨΑ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΜΩ, ΩΑ, ὧν τὸ ἀπὸ τῆς ΜΩ μεῖζόν ἐστι τοῦ ἀπὸ τῆς ΓΨ. λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΨΑ μεῖζόν ἐστι τοῦ ἀπὸ τῆς ΑΩ. μείζων αρα ἡ ΨΑ τῆς ΑΩ· ἡ δὲ ΑΩ μείζων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τῆς ἐλάσσονος σφαίρας. πολλῷ ἄρα ἡ ΨΑ μείζων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τῆς ἐλάσσονος σφαίρας. καὶ ἡ ΑΨ κάθετος ἐπὶ τὸ ΜΓΟΥ ἐπίπεδόν ἐστιν. τὸ ἄρα ΜΓΟΥ ἐπίπεδον οὐ ψαύει τῆς ἐλάσσονος σφαίρας. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκάτερον τῶν ΥΟΠΤ, ΤΠΡΣ τετραπλεύρων οὐ ψαύει τῆς ἐλάσσονος σφαίρας, οὐδὲ τὸ ΝΣΡ τρίγωνον ψαύει τῆς ἐλάσσονος σφαίρας. ἐὰν δὴ ἐν ἑκάστῃ τῶν λοιπῶν

τεταρτημορίων τὰ αὐτὰ κατασκευάσωμεν, ἕξομεν εἰς τὴν μείζονα σφαῖραν στερεὸν πολύεδρον καὶ ἀρτιόπλευρον ἐγγεγραμμένον μὴ ψαῦον τῆς ἐλάσσονος σφαίρας.

Ἐὰν δὴ εἰς ἑτέραν σφαῖραν τῷ ἐν τῇ ΒΓΔ σφαίρᾳ στερεῷ πολυέδρῳ ὅμοιον στερεὸν πολύεδρον ἐγγράψωμεν, ἔσται ἑκάστη τῶν πυραμίδων τῶν βάσιν μὲν ἐχουσῶν τὰ ΜΓΟΥ, ΥΟΠΤ, ΤΠΡΣ καὶ τὸ ΝΟΡ τρίγωνον, κορυφὴν δὲ τὸ Α σημεῖον, ὁμοία τῇ ὁμοταγεῖ πυραμίδι. αἱ δὲ ὅμοιαι πυραμίδες πρὸς ἀλλήλας τριπλασίονα λόγον ἔχουσιν ἤπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν. ἑκάστη ἄρα τῶν πυραμίδων τῶν βάσιν τῶν βάσιν μὲν ἐχουσῶν τὰ ΜΓΟΥ, ΥΟΠΤ, ΤΠΡΣ τετράπλευρα καὶ τὸ ΝΣΡ τρίγωνον, κορυφὴν δὲ τὸ Α σημεῖον, πρὸς ἑκάστην τῶν ὁμοταγῶν πυραμίδων τριπλασίονα[1]) λόγον ἔχει ἤπερ ἡ ΓΑ πρὸς τὴν ἐκ τοῦ κέντρου τῆς ἑτέρας σφαίρας. καὶ ὅλον ἄρα τὸ πολύεδρον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΓΑ πρὸς τὴν ἐκ τοῦ κέντρου τῆς ἑτέρας σφαίρας. ὡς δὲ ἡ ΓΑ πρὸς τὴν ἐκ τοῦ κέντρου τῆς ἑτέρας σφαίρας, οὕτως ἡ ΓΔ πρὸς τὴν διάμετρον τῆς ἑτέρας σφαίρας. καὶ ὅλον ἄρα τὸ πολύεδρον πρὸς ὅλον τὸ πολύεδρον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΓΔ πρὸς τὴν διάμετρον τῆς σφαίρας: ∼

Αἱ σφαῖραι πρὸς ἀλλήλας ἐν τριπλασίονι λόγῳ ι'
εἰσὶ τῶν διαμέτρων.

ἔστωσαν σφαῖραι αἱ ΑΒΓ, ΔΕΖ, διάμετροι δὲ τῶν ΑΒΓ, ΔΕΖ σφαιρῶν ἔστωσαν αἱ ΒΓ, ΕΖ. λέγω, ὅτι ἡ ΑΒΓ σφαῖρα πρὸς τὴν ΔΕΖ σφαῖραν τριπλασίονα λόγον ἔχει ἤπερ η ΒΓ πρὸς τὴν ΕΖ.

1) Corr. ex τριπλάσια m. 1.

εἰ γὰρ μὴ ἔχει ἡ ΑΒΓ σφαῖρα πρὸς τὴν ΔΕΖ τριπλασίονα λόγον ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ, ἕξει ἄρα ἡ ΑΒΓ σφαῖρα ἤτοι πρὸς ἐλάσσονά τινα σφαῖραν τῆς ΔΕΖ ἢ πρὸς μείζονα τριπλασίονα λόγον ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἐχέτω πρότερον πρὸς ἐλάσσονα τὴν ΗΘΚ, καὶ νενοήσθω ἡ ΔΕΖ τῇ ΗΘΚ περὶ τὸ αὐτὸ κέντρον, καὶ δύο σφαιρῶν περὶ τὸ αὐτὸ κέντρον οὐσῶν τῶν ΔΕΖ, ΗΘΚ εἰς τὴν μείζονα σφαῖραν τὴν ΔΕΖ στερεὸν πολύεδρον ἐγγεγράφθω μὴ ψαῦον τῆς ἐλάσσονος σφαίρας τῆς ΗΘΚ κατὰ τὴν ἐπιφάνειαν, καὶ ἐγγεγράφθω εἰς τὴν ΑΒΓ σφαῖραν τῷ ἐν τῷ ΔΕΖ στερεῷ πολυέδρῳ ὅμοιόν τε καὶ ὁμοίως κείμενον στερεὸν πολύεδρον. τὸ ἄρα ἐν τῇ ΑΒΓ σφαίρᾳ στερεὸν πολύεδρον πρὸς τὸ ἐν τῇ ΔΕΖ σφαίρᾳ στερεὸν πολύεδρον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἔχει δὲ καὶ ἡ ΑΒΓ σφαῖρα πρὸς τὴν ΗΘΚ τριπλασίονα λόγον ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἔστιν ἄρα ὡς ἡ ΑΒΓ σφαῖρα πρὸς τὴν ΗΘΚ σφαῖραν, οὕτως τὸ ἐν τῇ ΑΒΓ στερεὸν πολύεδρον. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ ΑΒΓ σφαῖρα πρὸς τὸ ἐν αὐτῇ πολύεδρον, οὕτως ἡ ΗΘΚ σφαῖρα πρὸς τὸ ἐν τῇ ΔΕΖ σφαίρᾳ στερεὸν πολύεδρον. μείζων δὲ ἡ ΑΒΓ σφαῖρα τοῦ ἐν αὐτῇ πολυέδρου. μείζων ἄρα καὶ ἡ ΗΘΚ σφαῖρα τοῦ ἐν τῇ ΔΕΖ σφαίρᾳ στερεοῦ πολυέδρου. ἀλλὰ καὶ ἐλάσσων· ἐμπεριέχεται γάρ· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ ΒΓ σφαῖρα πρὸς ἔλασσόν τινα τῆς ΔΕΖ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἡ ΔΕΖ σφαῖρα πρὸς ἐλάσσονά τινα τῆς ΑΒΓ σφαίρας τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς τὴν ΒΓ.

λέγω δή, ὅτι οὐδὲ ἡ ΑΒΓ σφαῖρα πρὸς μεῖζόν

τινα τῆς ΔΕΖ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ.

εἰ γὰρ δυνατόν, ἡ ΑΒΓ σφαῖρα πρὸς μείζονα λόγον ἐχέτω τῆς ΔΕΖ σφαίρας πρὸς τὴν Λ ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἀνάπαλιν ἄρα ἡ Λ σφαῖρα πρὸς τὴν ΑΒΓ σφαῖραν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς τὴν ΒΓ. ὡς δὲ ἡ Λ σφαῖρα πρὸς τὴ ΑΒΓ σφαῖραν, οὕτως ἡ ΔΕΖ σφαῖρα πρὸς ἐλάσσονά τινα τῆς ΑΒΓ σφαίρας. καὶ ἡ ΔΕΖ ἄρα σφαῖρα πρὸς ἐλάσσονά τινα τῆς ΑΒΓ σφαίρας τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς τὴν ΒΓ· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ ΑΒΓ σφαῖρα πρὸς μείζονά τινα τῆς ΔΕΖ σφαίρας τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἐδείχθη δέ, ὅτι οὐδὲ πρὸς ἐλάσσονα. ἡ ΑΒΓ σφαῖρα πρὸς τὴν ΔΕΖ σφαῖραν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ.

Εὐκλείδου στοιχείων[1] *ιβ̅.*

---

1) Infra add. *στερεῶν.*